πως συμπάθειά τε (1) καὶ συνέργεια δι' ἐκείνου (2) ἀνὰ τὸ περίγειον τουτὶ χωρίον συμβαῖεν (3). Πολλῶν τοίνυν παθῶν καὶ ἐνεργειῶν αἴτιος οὗτος. Πῶς γὰρ οἱ τὰς ὄψεις νοσοῦντες τοὺς ὁρῶντας σφᾶς πολλάκις τοῦ πάθους κοινωνοὺς ἐποιήσαντο; ναὶ μὴν τοῦ περιέχοντος ἀέρος μεταιχμίου δίκην ῥώσεως ἐνόντος ἡμῖν καὶ φαυλότητος. Οὐκοῦν διὰ τοῦ ἐνόντος ἀέρος καὶ νάρκη ποιεῖν τι πάθος ἐπίσταται (4) τοῖς αὐτῇ (5) πλησιάζουσιν, εἰ καὶ μὴ (6) ταύτης ἐφάψοιντο. Ἐρῶ δέ σοι καὶ τοῦδε τεκμήριον. Ἡ μαγνῆτις, ἣν καὶ ἡράκλειαν λίθον φασὶ (7), τοῦ σιδήρου διέστηκε· καὶ ὅμως διὰ μέσου τοῦ ἀέρος ὁρῶμεν τὴν ἐνέργειαν προβαλλομένην (8) τὴν λίθον. Ἡ δὲ καὶ περὶ τὸν φοίνικα (9) γινομένη συμπάθεια ποίαν διάνοιαν οὐκ ἐξίστησι, ποίαν ἀκοὴν οὐκ ἐνεφόρησε θαύματος; ἐπὶ τοῦ φοίνικος τοῦ φυτοῦ ἄλλως τῶν ἀῤῥένων καὶ ἄλλως τὸ τῶν θηλειῶν διακέκριται γένος (10). Εἶτα πλησίον ὄντων ἀλλήλων τοῦ τε ἄῤῥενος καὶ τοῦ θήλεος, ἴδοις ἂν τὴν θήλειαν καθιεῖσαν τοὺς κλάδους, οἷα κόρην (11) ἐρωτικὴν, τῷ ἄῤῥενι, καὶ συμπλοκῆς ἐφιεμένην καὶ ὀργῶσαν (12)· ἐπεὶ δ' οὐκ ἐξικνοῦνται ἔστιν ὅτε οἱ ταύτης πρὸς τὸν ἄῤῥενα κλάδοι, σοφόν τι παλαμῶνται ταύτῃ οἱ φυτουργοὶ πρὸς τὸν ἔρωτα (13). Κάλοις (14) γὰρ αὐτὴν περιδεσμοῦσι τῷ ἄῤῥενι, καὶ οὕτως ἐν αἰσθήσει τῆς ἀπολαύσεως ἡ θήλεια γίνεται, καὶ ἐξανίσταται τῆς κυρτώσεως καὶ πρὸς τὸ οἰκεῖον τοὺς κλάδους ἐπανήγαγε (15) σχῆμα, ὥσπερ διὰ τῶν κάλων τὴν τοῦ ἄῤῥενος λαχοῦσα συνά-

φειαν (1). Ἄτοπον τοίνυν οὐδὲν, εἰ ποιεῖ τι καὶ νάρκη τοῖς (2) θηρεύουσι πάθος διὰ μέσων τῶν κάλων.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ε').

Βαβαὶ τοῦ λόγου! ἀδελφὸς εὖ μάλα μοι τῆς (3) φύσεως, Ἀντίσθενες, εἶναι δοκεῖς. Ἀλλ' ἐκ τῆς θαλάττης ἐπὶ τὴν χέρσον μετελθεῖν ὁ λόγος ἐᾷ, καὶ μετοχετεύειν (4) ἐπὶ τὴν ἤπειρον τὴν θεωρίαν ἐπείγεται (5). Τὰς ἐλάφους ὁ Κορίνθιος ἐκομψεύετο τὸ κέρας ἀποβαλούσας (6) τῶν συνήθων ἀποφεύγειν χωρίων, ὥσπερ (7) αἰσχυνομένας τὴν τέως αὐταῖς ἀκοσμίαν προσοῦσαν (8).

ΑΝΤΙΣΘΕΝΗΣ.

Δόξειε μέν τις παίζειν ἴσως τὸν Περικλέα, Πολύκρατες, ἢ κορυβαντιᾷν πως καὶ μεμηνέναι (9), φληναφόν τι (10) τουτὶ τὸ διαπόρημα προβαλλόμενον· ἐγὼ δὲ τὸν ἄνδρα τεθαύμακα καὶ τὸ φιλόκαλον γεραίρω τῆς γνώσεως. Ἀλλ' εἴ σοι δοκεῖ περὶ ταυτηνὶ τὴν πλάτανον καθῆσθαι μικρόν; ἀμφιλαφὴς γὰρ ἡ πλάτανος, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον (11).

ΠΟΛΥΚΡΑΤΗΣ.

Πρόαγε δή (12).

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἆρά γε, ὦ παῖ Σωσίου, ἆρά γε οἴει τὸ κέρας (13) ἀποβάλλειν τὴν ἔλαφον;

ΠΟΛΥΚΡΑΤΗΣ.

Φημὶ δή. Ἀπειράκις τοῦτο τεθέαμαι, ὁπότε παῖς μὲν

ἦν (1) τὴν ἡλικίαν, ἀγροικότερος δὲ τὸν νοῦν, ἡνίκα τὰ κυνηγέτου μοι ἐφαίνετο περισπούδαστα, ὅτε αὐλῶνας καὶ γηλόφους ἐθαύμαζον καὶ τῶν ὀρῶν μοι τὰ ὑψηλόκομα ἦν ἐναυλίσματα (2).

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἀτὰρ οὖν λέξω (3) κἀγὼ τί δῆτα τὰς συνήθεις διατριβὰς δραπετεύουσιν ἔλαφοι, τὸ κέρας ὥσπερ ἀποκειράμεναι. Ἔστιν αἴσθησις καὶ τοῖς ἀλόγοις ζώοις, Πολύκρατες, καθ' ἣν τῆς ἰδίας σωτηρίας (4) ἀπειλήφασι τὴν διάγνωσιν. Οἶδεν ἡ σηπία (5) τῆς οἰκείας ἀχλύος τὸ σόφισμα, καί που θηραταῖς ἀορασίαν ἄγρας πολλάκις (6) ἐνέθηκεν. Οἶδε τὰ γαμψώνυχα τὴν διὰ τῶν ὀνύχων ἀλκήν. Οἶδεν ὁ λαγωὸς διὰ τοῦ δρόμου καὶ τῆς τῶν ποδῶν ὀξύτητος κυνηγέτου ἐπιβουλὰς ἀποπέμπεσθαι. Οἶδεν ἡ ἔλαφος ἀποκειραμένη τὰ κέρατα ἀσθενεσθέραν τὴν φύσιν ἀμύνασθαι (7) τοὺς λυπήσαντας· οὐκοῦν ἀποκρύπτεται, οἷα στρατιώτης τις ἄοπλος (8) δεδιὼς παρατάττεσθαι καὶ πόῤῥω που ἀπόμαχος εἶναι βουλόμενος. Πρὸς ἐπὶ τούτοις ἀλγεῖ πως (9) τὸ ζῶον τὴν κάραν δεινότατα. Ταῦτα φύσις ἐπίσταται καὶ φιλοσοφία μεμύηται.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ς').

Ὡς ἀγαθὸς ἦς κυνηγέτης, ὦ φίλος! μεγίστην ἐθήρασάς τινα (10) τῷ Περιπάτῳ κατάληψιν. Νῦν ἡμᾶς μουσικαὶ περιπνέουσιν αὖραι « καλῇ ὑπὸ πλατανίστῳ » ὅθεν ἀγλαὸν ἐστὶν ἀρύεσθαι λόγον (11). Δεῦρο δὴ ἐπὶ τὰ Λιβύης ξεναγώγει με θαύματα. Ἐκεῖ γάρ τι παράδοξον ὁ Κορίνθιος

ἔφη θεάσασθαι· ἀποφεύγειν τοὺς ὄφεις τὸ πήγανον, ὥσπερ τινὸς αὐτοὺς ἀποσοβούσης ἐντεῦθεν (1) δυνάμεως. Τίς ὁ νοῦς; ἀπόκριναι τῷ σῷ Πολυκράτει, ὥσπερ ἔκ τινος τρίποδος Πυθικοῦ (2) τὰς ἀποκρίσεις ποιούμενος.

ΑΝΤΙΣΘΕΝΗΣ.

Φιλοπευθὴς ἄγαν τις ἦν ὁ Πολυκράτης· ἐμὲ δὲ, νὴ τὴν φρόνησιν, διελάνθανεν (3). Ἀλλ' ἐπεί σοι καὶ τοῦτο πρὸς θεωρίαν ἐπέραστον, οὐκ ἀπεριμερίμνους καὶ πρὸς τουτονὶ τὸν λόγον ἕξεις ἡμᾶς (4). Ψυχρὰν ἄγαν, ἔτι γε μὴν καὶ ξηρὰν καὶ νευρώδη τὴν φύσιν ὁ ὄφις (5) ἀπείληφεν. Ἔστω δ' αὖ τουτί σοι (6) τῆς ἀληθείας τεκμήριον. Ὥρᾳ χειμῶνος ὥσπερ ἄντρων τινῶν τῶν φωλεῶν ὄφις ἐρᾷ, καὶ πρὸς τὰ βάθη τῆς γῆς ἐναυλίζεται (7), ἅτε δὴ θερμοτέρων ὥρᾳ χειμῶνος καὶ πρὸς ἀλέαν ἐχόντων (8) ἐπιτήδειον ἐνδιαίτημα· αὖθις δ' αὖ, θέρους ἐνόντος, ἐπιπολάζει (9) τῇ γῇ καὶ τὴν ἐπιφάνειαν ἀσπάζεται τὴν περίγειον. Καὶ οἶδεν ὄφις ὡρῶν τροπὰς, οὐκ ἀστρονομίαν μυηθεὶς (10) ἢ τὰ Χαλδαίων σοφίσματα. Πήγανον τοίνυν τὸ Λιβυκὸν ἄγαν ξηρότατόν (11) ἐστι καὶ λειποψυχεῖν εὐθὺς (12) τοὺς ὄφεις ἐποίησεν, ὥσπερ κραιπάλην τινὰ καὶ σκοτοδινίαν ταῖς ὑπερβολαῖς τῆς ξηρότητος τοῖς ὄφεσι παρεχόμενον.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ζ').

Ἄρτιός μοι λίαν ὁ λόγος ἀληθείας ἰνδάλματα προφερόμενος (13). Ἐμοὶ δὲ πάλιν ἔρως ἐπὶ τὴν θάλατταν ἐκδημεῖν. Ὅτε γάρ μοι ὁ νοῦς ἀπίδοι πρὸς τὰ τῆς χέρσου θαύματα, ἐπὶ τὴν θάλατταν δραπετεύειν ἐθέλει (14)· ὀπηνίκα

δὲ πάλιν πρὸς τὴν τῆς θαλάττης δημιουργίαν ναυτίλλεται (1), ἐκ τῶν βυθῶν ἐρᾷ τῶν θαυμάτων ἀνεῖναι τῆς γῆς θεωρὸς, καὶ (2) τὰς κατ' ἤπειρον θεωρίας ἐκδέχεται.

ΑΝΤΙΣΘΕΝΗΣ.

Εἴπερ οὖν αὖθις τὸν λόγον, Πολύκρατες, δεῖ λέγειν, φράσον δή μοι, φράσον ποῦ δῆτά σοι τὰ τῆς θεωρίας ναυτίλλεται (3).

ΠΟΛΥΚΡΑΤΗΣ.

Τοὺς πλωτῆρας ἀκήκοα γαλήνην σοφίζεσθαι τῇ θαλάττῃ ἐνιέντας τὸ ἔλαιον, ὥσπερ ἴλεων ἔσεσθαι ἐντεῦθεν αὐτὴν ἐπικυμαίνουσαν μηχανωμένους (4). Τοῦτό τοι (5) καὶ θαλαττουργοὶ περὶ τὰς τῶν ἰχθύων ἄγρας πράττειν εἰώθασιν. Ἐπὶ ταυτηνί με τὴν θεωρίαν τῷ λόγῳ, οἷα λέμβῳ τινὶ, Ἀντίσθενες, διαπόρθμευε.

ΑΝΤΙΣΘΕΝΗΣ.

Λεπτότατον ἔφυ τὸ πνεῦμα, Πολύκρατες, τὸ δὲ ἔλαιον γλισχρὸν διὰ τὸ λεῖον (6) καθέστηκεν. Ὀλισθαῖνον οὖν τὸ πνεῦμα διὰ τὴν λειότητα ἀδυνατεῖ προσεπεγείρειν (7) τοῖς ὕδασι κλύδωνα. Ἐντεῦθεν ἐπιγελᾷ γαλήνην ἡ θάλαττα, ὥσπερ φιλανθρώπῳ τινὶ ἐλέῳ τὸν θυμὸν ἡμερώσασα (8).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. η').

Ἔτι σου καθέξομαι καὶ οὐκ ἂν (9) ἀφείην, Ἀντίσθενες· ὑπὸ γὰρ φιληδονίας τὸν κόρον ἀφῄρημαι. Τοὺς γῦπας ἐγκυμονεῖν τριετῆ χρόνον ὁ Κορίνθιος τερατεύεται, καὶ ξένον μοι τῶν τῆς φύσεως νόμων εἶναι δοκεῖ (10). Οὐ γάρ πω τοιοῦτόν τι (11) ἀκήκοα δραματούργημα.

ΑΝΤΙΣΘΕΝΗΣ.

Πολλὰ γένη τῶν ὀρνίθων, Πολύκρατες, οὐ δεῖται τῆς τῶν ἀῤῥένων συμπλοκῆς πρὸς τὴν κύησιν (1). Ἀλλ' ἐν μὲν τοῖς ἄλλοις τὰ ὑπηνέμια (2) καθέστηκεν ἄγονα· τοὺς δὲ γῦπας ἀσυνδυάστως (3) τίκτειν παρακελεύονται φύσεως νόμοι. Γῦπα τοίνυν οὐκ ἔστι θεάσασθαι ἄῤῥενα· ἀλλ' ἅπαν τὸ γένος αὐτοῖς ἡ τοῦ θήλεος ἀπηνέγκατο φύσις (4). Ὅπερ ἐπιστάμενοι γῦπες καὶ τὴν ἐρημίαν δεδιότες τῶν τέκνων, εἰς ἐπιγονὴν ἅπαν τὸ γένος στρατεύεται, οἷα Λημνιάδες γυναῖκες ἡρώων ἀναγόμενον στόλον θεώμεναι· εἶτα δρῶσί τι σόφισμα ποικίλον οἱ γῦπες· ἀντίπρωροι τῷ νότῳ πέτονται· εἰ δὲ μὴ νότος εἴη, τῷ συγγενεῖ εὔρῳ ἁπλοῦσι τὰς πτέρυγας· εἶτα κεχήνασι καὶ τοῦ πνεύματος ἐμφοροῦνται εἰσρέοντος, καὶ τίκτουσι ζῶα, οὐκ ὠὰ ὑπηνέμια. Διὸ πλείστου χρόνου δεῖται ἡ φύσις πρὸς ζώου τελεσιουργίαν, Πολύκρατες· χαλεπὸν γὰρ καὶ λίαν ἐργῶδες τῇ φύσει οὐσιῶσαι τὸ πνεῦμα καὶ πρὸς ζώου τελεσιουργίαν πλαστουργεῖν τὸ λεπτότατον (5).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. θ').

Ἐγὼ μὲν ᾤμην τερατολογεῖν, Ἀντίσθενες, τὸν Κορίνθιον· ἑάλωμεν δὲ (6), καὶ τῷ τῆς ἀληθείας ἑκόντες ἐφαλλόμεθα κύρτῳ. Ἆρα μέχρι τούτου τὸ τῆς σοφίας (7) εἴη μοι φροντιστήριον; οὐ δῆτα, οὐ δῆτα (8)· οὐ γὰρ ἡμίεργον ἄπειμι τὴν ἐπιστήμην κτησάμενος. Περὶ τὸν πόντον τοίνυν (9) τοὺς ἰχθύας ἅπαντας φασὶν ἐνδημεῖν, πολύποδα δὲ περὶ τὸν βόρειον κόλπον μὴ γίνεσθαι.

ΑΝΤΙΣΘΕΝΗΣ.

Καὶ μᾶλα εἰκότως, Πολύκρατες· ἔστι γὰρ χῆρος ὁ πόντος (1) πολύποδος. Τὰ μὲν γὰρ τῶν ἰχθύων ψύξεως δεῖται ὅσα που (2), καὶ τὰ πότιμα ἐπιδιώκουσι (3) νάματα· τὰ δὲ θερμότητος ἐρᾷ, καὶ πρὸς τὴν θάλατταν (4) ἀναστρέφεται· θερμοτέρα γὰρ αὕτη τῶν ἄλλων ὑδάτων καθέστηκεν. Ὁ γοῦν πολύπους τῇ (5) Ποντικῇ θαλάττῃ ἀπεχθάνεται· ψυχρότερον γὰρ τὸ βόρειον πέφυκε πέλαγος, ἀλλὰ καὶ τῆς λοιπῆς θαλάττης γλυκύτερον· ὑπὸ πολλῶν γὰρ καὶ μεγάλων ποταμῶν ἐπιῤῥεῖται· ἐναντία δὲ τῷ πολύποδι τό τε ψυχρὸν καὶ τὸ (6) γλυκύ. Ἱκανὸν δὲ ἐρῶ σοί τι πρὸς ἀπόδειξιν. Πέτρᾳ συμπλακεὶς ὁ πολύπους δυσαποσπάστως ἔχεται· διὸ γλυκὺ ἐπιχέουσιν ὕδωρ τῇ πέτρᾳ οἱ πρὸς ἄγραν δεινοί (7)· καὶ οἱ μὲν ἔχουσι τὸ ζητούμενον θήραμα, ὁ δὲ τῆς ἑαυτοῦ ἄκων ἐξανίσταται βάσεως (8).

Η ΔΙΑΛΕΞΙΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΑΚΡΟΑΣΕΩΣ *.

Τὸν Σεμέλης Διόνυσον, μᾶλλον δὲ τὸν Διός (διπλῆ γὰρ ἦν (1) ἐκ Διὸς τῷ Διονύσῳ ἡ γέννησις)· τὸν Διὸς τοίνυν Διόνυσον ὅτε που ἡμίεργον ἐξήμβλου ἡ μήτηρ καὶ παῖς ἡμιτέλεστος (2) ὁ ῥυθικὸς ὑπῆρχε θεὸς, ὑπὸ τὸν μηρὸν ὁ πατὴρ ἐτελεσιούργει τὸ γέννημα, καὶ ὁ Σεμέλης αὖθις ἐνεκυμονεῖτο (3) Διόνυσος. Τοὺς ἡμιλέκτους τελεσιουργεῖτέ μοι λόγους, ἄνδρες (4) διδάσκαλοι, παρ' οἷς ἐστὶν ἡ ἐντέλεια· οὐ γὰρ (5) ἀτελεσφορήτων λογικῶν ὠδίνων ἀνέχεσθε (6). Ἔρως ἦν τῷ Πανί· ἦρα δὲ ὁ Πὰν ἑαυτοῦ, καὶ φωνῆς ὑπῆρχεν ἡ ποθουμένη ἀπήχησις, εἰ καὶ τὸν Πᾶνα (7) τὸ σόφισμα διελάνθανεν. Ἐφθέγγετο, καὶ τῆς ἐρωμένης ᾐσθάνετο· ἐπέπαυτο τῆς ᾠδῆς, καὶ ἦν ἀφανὲς τὸ ποθούμενον. Ἄσομαι τοίνυν κἀγώ· ἀντηχήσει γὰρ, οἶδα, ὁ σύλλογος, καὶ τῶν ἐρωμένων κρότων ᾐσθήσομαι (8), εἰ καὶ παρ' ἀξίαν τῶν λεγομένων ὁ ἔπαινος.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ι').

Ταῖς φιλοπευθέσι ψυχαῖς κόρος οὐκ ἔνεστι (9) γνώσεως· οὐκοῦν ἐπὶ τὴν νύσσαν ὁ λόγος (10), Ἀντίσθενες· ὦτα γάρ μοι ὀφθαλμῶν ἀπληστότερα (11). Τῷ τραγείῳ ὑπομαλάττεσθαι αἵματι ὁ Κορίνθιος ἔφησε τὸν ἀδάμαντα (12)· καὶ θεῖον τουτὶ χρῆμα καὶ (13) ἀπόῤῥητον εἶναι δοκεῖ. Φέρε δὴ ἀρχὴ καὶ πέρας τῆς συνουσίας οἱ περὶ ἀδάμαντος ἔστωσαν λόγοι.

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἰδού σοι, Πολύκρατες, ξηράν τινα καὶ ψυχρὰν καὶ ἄνικμον τὴν ἀδάμαντος ὑπεθέμεθα φύσιν (1)· ὅθεν τοῖς ἐναντίοις εἰκότως ὁ ἀδάμας ὑπήκοος γίνεται· αἵματος δὲ φύσις θερμή τίς ἐστι (2) καὶ ὑγρά. Διὸ τῷ μὲν ὑγρῷ τὸ ξηρόν τε καὶ ἄνικμον ὑποτάττεται, τὸ δὲ ψυχρὸν ὑπομαλάττεται τῇ θερμότητι.

ΠΟΛΥΚΡΑΤΗΣ.

Καὶ τί δῆτα ὁ ἀδάμας μὴ παντὶ ὑπομαλάττεται αἵματι;

ΑΝΤΙΣΘΕΝΗΣ.

Θερμότατον τὸ τράγειον καθέστηκεν (3) αἷμα· ἐντεῦθέν πως κρατεῖ καὶ ἀδάμαντος. Ἤδη δέ τινες καὶ λεοντείῳ αἵματι ὑπομαλάττουσι τὸν ἀδάμαντα, ταῖς ὑπερβολαῖς τῆς θερμότητος ὑπερνικῶντες αὐτοῦ τὸ ἀμείλικτον.

ΠΟΛΥΚΡΑΤΗΣ.

Ἔνεστιν οὖν τις διαφορὰ κἀν τοῖς αἵμασιν (4);

ΑΝΤΙΣΘΕΝΗΣ.

Πάνυ μὲν οὖν. Ἔχει γάρ (5) τινα αἷμα ἐλάφειον ἰδιότητα· ἔχει δὲ καὶ ταύρειον ἰδιάζουσαν ἐνέργειαν (6).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ια').

Ἀληθείας ἐπαγωγὸς ὁ λόγος, Ἀντίσθενες. Ἀλλὰ τὸν Ἀρίστωνος θέα μοι (7) παῖδα, ὡς συντόνως ὁ νεανίας ἱππάζεται. Ναὶ δὴ καὶ ξυνωρίδα κυνηγετῶν (8) ἐπισύρεται, ὡς ὁρᾷς. Ὑψαύχην ὁ ἵππος αὐτῷ χρυσοῖς τισιν ὅρμοις τὴν χαίτην κοσμούμενος· ἐπιγαυριᾷ πως καὶ φρυάττεται τῷ

βαδίσματι, ὥσπερ ἐμβλακευόμενος τῷ φρονήματι (1). Ὁ δὲ παῖς ἔποχος τὰς ἡνίας (2) τῇ δεξιᾷ ἐπειλημμένος χειρὶ, ἀνασοβεῖ τοῖν ποδοῖν τὸν ἵππον, καὶ πρὸς τὸ (3) ἄστυ τὸν δρόμον πεποίηται. Καὶ γέγηθέ πως ὁ νεανίας· οὐ γὰρ ἀθηρία τις αὐτῷ ἐντετύχηκε (4). Θέα μοι ἡλίκος αὐτῷ λαγὼς ἀπηώρηται (5). Καί τις ἐντεῦθέν μοι εἰσπεπήδηκε θεωρία (6). Ἀνδρὸς ἤκουσά του (7) λέγοντος, παρ' ᾧ κόμπος μυθικῶν πλασμάτων οὐκ ἔνεστι, τοὺς λαγὼς τὰ μὲν τῶν ἐκγόνων ὠδίνειν, τὰ δὲ τετοκέναι, ἔνια δ' ἡμιτελῆ (8) ἔτι φέρεσθαι τῇ γαστρί.

ΑΝΤΙΣΘΕΝΗΣ.

Γονιμωτάτη τις ἐστὶν ἡ τῶν λαγῶν φύσις (9), Πολύκρατες. Ἱκανὸν δέ τῳ τεκμηριῶσαι (10) κομιδῇ τὸ λεγόμενον. Λαγὼς πυτία (11) ἄπαιδι ἐντιθεμένη γυναικὶ (12) ἐγκύμονα θᾶττον ἐποίησε, καὶ παῖδα ὑποτίτθιον στείρᾳ (13) χαρίζεται. Ἡ τοίνυν σύλληψις οὐ χωρίζεται τοῖς λαγῶς (14), ἀλλ', ἔτι τελεσφορουμένων τῶν ἐκγόνων, ἐπισύλληψις ὥσπερ αὐτοῖς ἐπιγίνεται. Οὐκοῦν ἃ μὲν τέτοκεν ὁ λαγὼς, ἃ δὲ ὠδίνει, ἃ δὲ ἡμιτελῆ ἔτι περιφέρει τῇ γαστρί (15). Αἴγυπτον καὶ Δαναὸν πολυτεκνοτάτους (16) ᾄδουσι ποιηταί· ἀλλ' ἐκείνων ὑπέρτερος ὁ λαγὼς, καθά που ἔφησεν ὁ Ἀβδηρίτης (17)· τὸ δὲ πιστεύειν ἀζήμιον (18).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιβ').

Φυσικαῖς ἡμᾶς ἀνάγκαις, Ἀντίσθενες, πέπεικας, ἑδραῖόν τί μοι περὶ τῶν λαγῶν (19) διηγούμενος. Ἀλλ' ἐπὶ τὰ τῶν κοράκων γένη οὐκ οἶδ' ὅπως ἐξάττῃ ὁ λόγος καὶ μετ-

ἄρσιος γέγονε δή· καὶ γὰρ αἰσθάνομαι τῶν κοράκων ὥσπερ ἀπειργομένων θέρους ὑδρεύεσθαι (1).

ΑΝΤΙΣΘΕΝΗΣ (κεφ. ιγ').

Πεπόνθασί τι πάθος ὥρᾳ θέρους οἱ κόρακες· τὸ δὲ πάθος ῥύσις ἐστὶ (2) γαστρὸς, ὦ Πολύκρατες. Ἐντεῦθεν ποταμοὶ καὶ πηγαὶ καὶ λίμναι (3) οὐδέν τι χρῆμα θέρους (4) τοῖς κόραξιν, ἵνα μή που τῷ ὑγρῷ ἡ τῆς γαστρὸς σχοίη ῥύσις ἐπίτασιν. Ἴσασι τοίνυν διαίτης τέχνην καὶ κόρακες, οὐχ Ἱπποκράτην μαθόντες, οὐ τὰ Μαχάωνος παιδευθέντες ἢ τὰ Χείρωνος φάρμακα. Ὁρῶσι γοῦν τὴν Ἀρέθουσαν ὥρᾳ θέρους οἱ κόρακες· ὁρῶσι δὲ καὶ (5) τοῦ Ἴστρου τὰ ῥεῖθρα, ναὶ μὴν καὶ (6) τὸν Νεῖλον τὸν Αἰγύπτιον (7) πελαγίζοντα· ἀλλ' ὅμως πίνειν ἐκείνοις οὐκ ἔνεστιν (8)· ἀλλ' οἷα Τάνταλοι (9) κολαζόμενοι δριμυτάτην ταύτην τὴν δίκην εἰσπράττονται (10).

ΠΟΛΥΚΡΑΤΗΣ.

Εὖ σοι τῆς ἐπιστήμης! εὖ γε καὶ τῆς πλατάνου (11)! ὡς ἡδύ μοι τερετίζουσιν ἐν τοῖς νεοβλάστοις τῶν κλάδων οἱ τέττιγες ἐποχούμενοι (12)! Καί τις ἐντεῦθέν με περὶ τεττίγων λόγος εἰσέδυ (13). Ἐξαίρειν ἐπέστη μοι (14) τὰ τῆς φύσεως ἔργα. Ἔφη καὶ γὰρ ὁ Κορίνθιος ὡς ἡ (15) θήλεια καθάπαξ τέττιξ ἄφωνος (16) πέφυκεν, ὥσπερ αἰσχυνομένη σωφροσύνη (17) τὸ λάλον. Οὐχ ὁρᾷς κοσμίως τήνδε τὴν τέττιγα ἐφιζάνουσαν τῷ κλάδῳ ἄγαν σιγηλῶς, ὥσπερ τὰ Πυθαγόρου διδαχθεῖσαν διδάγματα;

ΑΝΤΙΣΘΕΝΗΣ:

Ψυχροί τινες τὴν φύσιν οἱ τέττιγες. Διὸ μετὰ θερινὰς (1) τροπὰς ἀπάρχονται τῆς ᾠδῆς, καὶ ἡλίου ἀπερχομένου τὸν ἡδυμελῆ μετίασι κέλαδον (2), ὥρᾳ τε μεσημβρίας εἰσὶν ᾠδικώτεροι (3). Τέττιξ οὖν θήλεια, κατὰ πολὺ (4) ψυχροτέρα τοῦ ἄῤῥενος, καὶ φύσις αὐτῇ τὴν σιωπὴν ἐγκελεύεται, ἐπίτασιν ἐντιθεῖσα ψυχρότητος. Διὸ κωτίλος τέττιξ οὐκ ἔστι (5) θήλεια· ἀλλ', οἷά τις Θεανὼ σιωπῶσα τὰ ἄῤῥητα, ὥσπερ Ὁμήρῳ μοι (6) δοκεῖ πειθαρχεῖν «μῦθος ἀνδρεσσι μελήσει» διδάσκοντι (7).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιδ'):

Ἥσθην τῷ λόγῳ. Ἀλλ' ἄγε δὴ (8) μετάβηθι, ὁ λόγος ἐρεῖ (9). Ἀρτίως γάρ μοι ἡ θεωρία ἀφίκετο, ἀπ' Αἰγύπτου μοι ἐνεγκαμένη λόγον οὐκ ἄμουσον. Φασὶ τοὺς Αἰγυπτίους τοῖς τῶν ἴβεων ᾠοῖς ἀπεχθάνεσθαι καὶ ταῦτα διαθλᾶν, ἵνα μή που κακόν τι (10) τὰ τούτων τελεσφορήσῃ γεννήματα· ζῷον γάρ τι δεινὸν ἐντεῦθέν πως ἔχειν τὴν γένεσιν περιθρυλλοῦσιν Αἰγύπτιοι (11). Ἆρα μὴ (12) λῆρός τις ἢ μυθολόγημα τὸ λεγόμενον;

ΑΝΤΙΣΘΕΝΗΣ.

Οὔ μοι δοκεῖ· σοφὸν γὰρ ὡς ἀληθῶς καὶ Αἰγύπτιον τὸ ἐφεύρεμα. Εἰ δέ που καὶ τοῦ λόγου ἀκούειν ἐρᾷς, ἔχω τί σοι λέξαι, φιλότης. Ἥδεται τουτὶ τὸ ὄρνεον τὰ (13) δυσώδη σιτούμενον· χαίρει δὲ (14) μάλιστα καὶ ταῖς τῶν ἰοβόλων ἄγραις, πολυβορώτατον (15) ὄν. Ἀλλὰ καὶ τοῖς ὄφεσιν ἶβις,

καθάπερ ὁ βασιλίσκος, πολέμιον· διὸ καὶ πτερὰ ἴβεων πολέμια ὄφεσιν (1). Ἐμφορεῖται δὲ σαρκῶν ὄφεων καὶ σκορπίων, καὶ γέγηθεν ἐπὶ ταύτῃ τῇ θήρᾳ. Οὐκοῦν ἔκ τινος ὥσπερ σηπεδονώδους γεννήματος δεινόν τι κακὸν ὁ βασιλίσκος ἐβλάστησε (2). Διὸ φθείρουσιν Αἰγύπτιοι ὅτε που ὠὰ θεάσαιντο (3) ἴβεων, ὥσπερ λύμην ἐσομένην (4) αὐτοῖς προαποκείροντες. Εἴπερ οὖν Αἰγυπτίους ἐζήλωσε Πρίαμος ἢ τὸν Οἰδίπουν ἀπέκτεινε Λάϊος, οὐκ ἂν ἦλω Τροία, οὐ μητρόγαμος συμπλοκὴ ἐπὶ τὰς (5) Θήβας ἐγένετο.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιε').

Πολλὴν ἔχοιμι τῷ Περικλεῖ χάριν, Ἀντίσθενες· μεγίστης γὰρ ἡμῖν γνώσεως καθέστηκεν αἴτιος. Ἐπεὶ δὲ τὸν Αἰγύπτιον Πρωτέα ὁ λόγος ἡμῖν ὑποκρίνεται, πρὸ μικροῦ μὲν τὰς τῶν κοράκων ὑποδὺς θεωρίας (6), ἄλλοτε τὰς ἀδάμαντος, εἶτα πρὸς τὰς τῶν ἴβεων μετελθὼν θεωρίας (7), νῦν ἐπὶ τὰς τῶν χαραδριῶν ἐμφωλεύει νομάς (8). Ἄγε δῆτα τὴν συνουσίαν μετάμειβε. Τοὺς ἰκτεριῶντας φασὶ τοῦ πάθους εὐθὺς ἀπαλλάττεσθαι, εἰ χαραδριὸς αὐτοῖς ἀντιβλέψειεν. Ὁ τοίνυν βάσκανος χαραδριὸς μύει τῶν ὀμμάτων τὰς κόρας, ὥσπερ πρὸς ὑγείας μετάδοσιν ἐπίφθονον ἔχων τὸ φρόνημα.

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἄπαγε τῆς ἀτοπίας, Πολύκρατες, ἄπαγε (9)· οὐ γαρ τοῖς ἀλόγοις βασκανίας τι μέτεστιν (10), οὐδὲ Προμηθεὺς παρ' ἐκείνοις κολάζεται, ἀγαθοῦ τινος τοῦ πυρὸς μεταδοὺς

τοῖς ἀνθρώποις· ὀφθαλμὼ (1) δὲ μύει χαραδριὸς, ἐπεὶ τὸ πάθος ἀμείβεται, καὶ τὸν ὄρνιν εὐθὺς ἡ νόσος μετέρχεται (2).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ις').

Μέγιστον ἐπ' ἐλαχίστῳ (3) ἐν ἀνθρώπου φύσει ἔνεστι φρόνησις. Δεῦρο δὴ περὶ ταύτην τὴν ἀμυγδαλῆν ὀλίγον ἐνδιατρίψωμεν, ὦ φίλος (4). Ὡς ἡδύ τί μοι ψιθυρίζει, καὶ μέτριαί τινες αὐτὴν περιπνέουσιν αὖραι (5)!

ΑΝΤΙΣΘΕΝΗΣ.

Ὅρα (6) τὴν ἀμυγδαλῆν τῷ καρπῷ βριθομένην καὶ μικροῦ δεῖν τῇ φορᾷ (7) τοῦ κυήματος περὶ τὴν γῆν ἐπικυρτουμένην καὶ μαιεύουσαν (8). Τοιγαροῦν εὐετηρίας, Πολύκρατες, τεκμήριον μέγιστον.

ΠΟΛΥΚΡΑΤΗΣ.

Πόθεν δῆτα, ὦ βέλτιστε;

ΑΝΤΙΣΘΕΝΗΣ.

Εὐκρασίαν (9) ἀέρων ἀσπάζεται τουτὶ τὸ φυτὸν, καὶ τέθηλε πρὸς εὐκαρπίαν ὅτε που εἰρηναίαν ἄγοι ὥραν τὸ περίγειον τουτὶ ἐνδιαίτημα (10). Διὰ τοῦτο προάγγελος εὐετηρίας (11) ἀμυγδαλῆ γίνεται, οὐ χειμῶνος ἔφοδον, οὐκ ὄμβρων (12) ἐπίῤῥοιαν ἀπαγγέλλουσα.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιζ').

Ἀλλ', εἴ σοι δοκεῖ, ἐπὶ ταυτηνὶ (13) τὴν στοὰν θᾶττον ἀπίωμεν· ὡς ὁρᾷς γὰρ, ψεκάζειν ἀπάρχεται, καὶ ὄμβρων ἀπειλεῖν ἐνδημίαν τῶν πνευμάτων ὑπαισθάνομαι τὰ κινή-

ματα (1). Γέγονε δὲ καί τί μοι πρὸς ἀνάμνησιν μετεωρολογίας, ὦ φίλος.

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἡλίκον ἂν εἴη τὸ ἐγχείρημα;

ΠΟΛΥΚΡΑΤΗΣ.

Τὰ ἑψόμενα πυρὶ νάματα ἀσηπτότερα (2) τὴν φύσιν ἐστὶν, ὥσπερ τῆς γεώδους αὐτοῖς (3) ἀπαναλωθείσης (4) οὐσίας. Ἔδει γοῦν (5) ἔδει καὶ τὰ ἐξ ὄμβρων ἡμῖν ἐπιγινόμενα ὕδατα ἀσηπτότερά πως εἶναι τῶν ἄλλων ὑδάτων, διηθοῦντος τοῦ ἡλίου τὸ λεπτότατον καὶ ἀνάγοντος. Πᾶν δὲ τοὐναντίον ἐστὶν ὁρᾷν· σήπεται γὰρ θᾶττον τὰ ἐξ ὄμβρων (6) προσγινόμενα (7) ὕδατα.

ΑΝΤΙΣΘΕΝΗΣ.

Πολυμιγεστάτη (8) τῶν ὑετῶν ἡ φύσις, ὦ οὗτος (9). Ἐκ πάντων γὰρ τῶν ὑγρῶν ἀνάγει ὁ ἥλιος. Ἡ τοίνυν ἀνωμαλία εὐκίνητος, καὶ πρός τινα φθορὰν μᾶλλον ὁρᾷ· τοῖς γὰρ ἀσυμφώνοις (10) τὸ διακρίνεσθαι προσφιλέστατον. Ἔτι γε μὴν τὸ βαρύτατον τοῦ ἀναχθέντος αὖθις κατάγεται, ἐπεὶ τὸ βαρὺ πρὸς τὸ κάταντες τὴν ῥοπὴν ἐκληρώσατο· τὸ γὰρ λεπτότατον τῆς ἀναθυμιάσεως πνευμάτων φύσις ἐγένετο.

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιπ').

Ἄριστα δῆτα. Ἀλλά με τοῦ τῆς ἀπορίας ἐλευθερώσεις (11) ἐγκλήματος, τοὺς περὶ φύσεως τελεσιουργήσας λόγους, Ἀντίσθενες. Τοὺς ἐν Σερίφῳ βατράχους Λυσίμαχος ὁ Φαλάριδος ἀφώνους ἔφη θεάσασθαι.

ΑΝΤΙΣΘΕΝΗΣ.

Ἡ τῶν ὑδάτων φύσις αἴτιον αὐτοῖς τῆς ἀφωνίας, Πολύκρατες, διὰ τὴν ἄγαν ψυχρότητα· ὅθεν εἴ τις ἐφ' ἕτερα (1) μετάγοι τὸ ζῶον, λάλον εὐθὺς ἐνεποίησε καὶ πρὸς τὴν οἰκείαν μετεβίβασε φύσιν, ὥσπερ τῶν τῆς Κίρκης δεσμῶν ἀφιέμενον. Κυρηναῖον δὲ βάτραχον τὸ τῶν ὑδάτων πικρὸν ἄλαλον ἀπεργάζεται (2).

ΠΟΛΥΚΡΑΤΗΣ (κεφ. ιθ').

Λίαν ἐπιστημόνως, ὦ φίλος (3). Τί τοῦτο (4) πεπόνθαμεν; ἐπὶ τὴν Ἀττικὴν που ἑστάναι (5) δοκῶ, καὶ τὸ Θεαγένους ἀναπολεῖν πως συμπόσιον. Εἰστία γὰρ Θεαγένης ὁ Σαλαμίνιος ἐμέ τε καὶ τὸν Κλεινίου Δοσίθεον· εἶχε δὲ ἡμῖν τὰ ὄψα καὶ μελιττοῦταν (6). Ἐγὼ τοίνυν χαίρειν φράσας τῷ πότῳ, ἐπί τινας λόγους ἐκαλινδούμην φιλοτίμως, ὡς ἔοικε· καὶ δὴ πρός με τὸν Θεαγένην εἰπεῖν (7)· « Οὐχ ὁρᾷς, ὦ Πολύκρατες, ὡς οὐχ οἷόν τε μυίας (8) « Ἀττικῆς μελίττης κεραΐζεσθαι πόνους »; Καὶ τεθαύμακα τὸ λεχθέν· λίαν γὰρ ἡμῖν δυσέμβατος ἦν ἡ κατάληψις.

ΑΝΤΙΣΘΕΝΗΣ.

Θύμοις, Πολύκρατες, τὴν Ἀττικὴν κομῶσαν ἐστὶ θεάσασθαι, οἷς ἐφιζάνουσιν (9) Ἀττικαὶ πυκνότερον μέλιτται· ἐντεῦθέν τοι καὶ δριμυτέραν ἔχει τὴν ὄσφρησιν (10). Διὸ καθάπερ ἰξῷ τινι μέλιτι Ἀττικῷ οὐκ ἐπικάθηται μυῖα (11)· περιβομβοῦσαι δὲ ὅμως (12) ἀπείργονται Ἀττικῆς μελίττης πόνους λῃΐζεσθαι. Ποῦ 'στὶ Δαρεῖος (13), ὁ κατὰ τῆς Ἑλλά-

δος ὁπλισάμενος (1); τὴν Ξέρξου παιδευέτω σοβαρότητα μυῖα, ὡς οὐκ ἂν τῶν τῆς Ἀτθίδος ἐπιβαίνειν θέμις καθέστηκεν (2).

ΠΟΛΥΚΡΑΤΗΣ.

Φιλοτίμως με λίαν εἰστιάσω, Ἀντίσθενες, ἐπιδείπνιόν τί μοι τῇ θεωρίᾳ μελιττουργίαν Ἀττικὴν διηγούμενος. Ἆρά γε αὐτόματός σοι ἡ τούτων καταληψις ἔνεστιν;

ΑΝΤΙΣΘΕΝΗΣ.

Οὐ δῆτα, Πολύκρατες. Ἤδη που καὶ τοῖς πάλαι πολλοί τινες καὶ ἀοίδιμοι καταβέβληνται πόνοι (3), οἷς τῷ νῷ ἐφιζάνοντες, οἷά τινες μέλιτται (4), συνελέξαμεν πρὸς μίαν περιεκτικωτάτην (5) ὑπόθεσιν, ἐπεξεργαστικώτερον, ὡς οἷόν τε ἦν, ἐπεξελθόντες τῷ λόγῳ. Οὐ γὰρ τοὺς Δημοκρίτου σφετερίσομαι (6) πόνους, οὐδὲ τὴν Ἀριστοτέλους εὔκλειαν ἐμαυτῷ περιάψομαι (7), οὐδέ τι λωποδυτήσω τῶν τοῦ Πλάτωνος (8), οὐ τὸν (9) Ἰάμβλιχον ἀστεφάνωτον καταλίποιμι, οὐ Πρόκλον, οὐ Γαληνὸν, τοὺς ἐν ἐπιστήμῃ κομψοὺς, οὐ Πλωτῖνον, οὐ Σωτίωνα (10), οὐκ Ἀλέξανδρον, οὐ Θεόφραστον, τὴν τῆς γνώσεως θάλατταν (11), οὐ Βῶλον (12), οὐκ Αἰλιανὸν, οὐ τὸν τῆς ἐπιστήμης πλοῦτον τὸν Πλούταρχον (13), οὐκ Ἄμβρωνα, οὐκ Ἰμβράσιον, ἢ Δαμάσκιον, ἢ τὸν Τιμαγένους Ἡροκλέα. Καὶ τί δῆτά σοι τὸν τῶν λοιπῶν (14) ἐπιθείην κατάλογον; ἀφ' ὧν λήμματά (15) τινα καὶ ἀρχὰς ἀναλέξαντες, σύνοψιν ὥσπερ τινά σοι φιλοπευθοῦντι ὡς οἷόν τε ἦν ἐκδεδώκαμεν. Οὐ γὰρ ἀλλοτρίῳ θέμις, Πολύκρατες, κόσμῳ σεμνύνεσθαι, καθάπερ τις μυθικὸς κο-

λοιός (1). Οὐδὲν γάρ ἐσθ' ὃ μὴ τοῖς πάλαι κατώρθωται (2)· τὸ δὲ περιτυγχάνειν προχειρότατα, οὐ πάνυ τι (3) ῥᾴδιον.

ΠΟΛΥΚΡΑΤΗΣ.

Ἐγώ σου τῆς ἐπιστήμης ὀναίμην, Ἀντίσθενες. Ἄπειμι (4) χαίρων· ἔρμαιον γάρ τί μοι εὐάντητον τῶν δυσπορίστων λόγων τὴν ἐπιστήμην ἀπείληφα (5).

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΣΧΟΛΑΣΤΙΚΟΥ ΤΟΥ ΣΙΜΟΚΑΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ

ΗΘΙΚΑΙ ΑΓΡΟΙΚΙΚΑΙ ΕΤΑΙΡΙΚΑΙ *.

α'. ΗΘ. ΚΡΙΤΙΑΣ ΠΛΩΤΙΝΩ.

Ὁ τέττιξ (1) ὁ μουσικὸς, ἦρος φανέντος, τῆς μελῳδίας ἀπάρχεται· ᾠδικώτερος δὲ τοῖς ἄσμασι καὶ τὴν φύσιν λαλίστερος ὥρᾳ μεσημβρίας γνωρίζεται (2), ἀκτίνων ὥσπερ ἡλιακῶν μεθυσκόμενος (3). Τερετίζει γοῦν ὁ μελῳδὸς, βῆμα τὸ δένδρον ποιούμενος, θέατρον τὸν ἀγρὸν, καὶ τοῖς ὁδίταις τὴν μουσικὴν ἐπιδείκνυται (4). Ἆσαι γοῦν καὶ ἡμεῖς τὰς σὰς ἀρετὰς ἐπειγόμεθα· ἐκθάλπουσι γάρ πως καὶ ζωπυροῦσι πρὸς ἐγκώμιον τὰ ἡμέτερα (5). Πάλαι γὰρ νεκρωθέντας ἡμᾶς τῷ ῥυπώδει (6) βίῳ ἐκ τῶν σῶν γραμμάτων (7) πρὸς ἀρετὴν ἀνεψύχωσας (8). Οὕτω γενοίμην ὁ Κριτίας· Πλωτῖνος γὰρ ἡ σώματος ἐκτὸς φιλοσοφεῖ ἐπὶ γῆς, ἡ Φιλοσοφία σωματωθεῖσα μετὰ τῶν ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται (9).

β'. ΑΓΡ. ΔΟΡΚΩΝ ΜΟΣΧΩΝΙ.

Ὁ ταξίαρχος (1) τῶν προβάτων, ὁ θαυμαστός μοι κριὸς (2) ἀπόλωλε, καὶ ποιμαντικῆς ἡγεμονίας χηρεύει (3) τὰ θρέμματα. Κακόν τι πεπόνθαμεν μέγιστον. Καί τί μοι δοκῶ χαλεπαίνειν τὸν Πᾶνα· οὐ γὰρ ταῖς τῶν σίμβλων αὐτὸν ἀπαρχαῖς (4) ἐτιμήσαμεν. Διὸ πρὸς ἄστυ χωρῶ τὸν ὀργίλον πρεσβευσόμενος. Καὶ τοῖς πολίταις τὴν ἀπήνειαν διηγήσομαι, φήσας· « διὰ (5) μελιττοῦταν ὁ Πὰν τοῦ ποι-« μνίου μοι τὸν ἡγεμόνα διώλεσεν ».

γ'. ΕΤ. ΘΕΑΝΩ ΕΥΡΙΔΙΚΗ *.

Ὁ φυσικός σοι κόσμος παρῴχηκε, καὶ ῥυτίδων ἐγγὺς ἡ εὐπρέπεια (1)· σὺ δὲ παραχαράττειν (2) ἐπιχειρεῖς τὴν ἀλήθειαν, ἐπιπλάστῳ κόσμῳ τοὺς ἐραστὰς φενακίζουσα (3). Πειθάρχει χρόνῳ, γραΐδιον· οὐ γὰρ εὐπρεπεῖς οἱ λειμῶνες ἐν μετοπώρῳ τοῖς ἄνθεσι (4). Μέμνησο καὶ θανάτου· τούτῳ γὰρ ἐγειτνίασας· καὶ σωφροσύνην ἐξ ἀνάγκης ἀσκεῖν ἐπιτήδευε. Γῆρας ἀδικεῖς καὶ νεότητα (5)· τὸ μὲν γὰρ ἐπαγγελλομένη διέψευσαι, τὸ δὲ κεκτημένη ἐνόθευσας (6).

δ'. ΗΘ. ΕΥΑΓΟΡΑΣ ΑΝΤΙΠΑΤΡΩ.

Ὅρους ὁ δημιουργὸς καὶ τῷ θαλαττίῳ διετάξατο (1) κλύδωνι, καὶ τοῖς αἰγιαλοῖς τὸ πελάγιον κεχαλίνωκε ῥεῖθρον,

καὶ ψάμμος τίς ἐστι μικρὰ ἠπείρῳ καὶ τῇ θαλάττῃ μεταίχμιον (2)· οὐ γὰρ ἀδικεῖν ἡ θάλαττα τὴν γείτονα γῆν (3) συγκεχώρηται· παλινδρομεῖ δὲ πρὸς ἑαυτὸ τὸ ῥεῖθρον μαινόμενον, μεγάλην ἀπειλῆσαν τῇ χέρσῳ τὴν ἔφοδον. Ὅρους τοιγαροῦν, ὦ Ἀντίπατρε, τῷ σῷ νομοθέτει θυμῷ (4), ὑπηρέτιν τὴν χεῖρα (5) τῆς ὀργῆς μὴ ποιούμενος. Τὸ μὲν οὖν συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν ἐντελοῦς ἀρετῆς ὅρος ἀκρότατος· εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε εἶ (6), ὕβρεσι τὸν θυμὸν ψυχαγώγει, εἰ κυσὶν ὑλακτοῦσιν ἐοικέναι βεβούλησαι. Οὕτω γὰρ καὶ χαλεπαίνουσα θάλαττα ἀφροῦ περαιτέρω καὶ σάλου τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

ε'. ΑΓΡ. ΑΙΓΕΙΡΟΣ ΠΛΑΤΑΝΩ.

Κακὰς γείτονας, ὦ φίλος, τὰς γεράνους κεκτήμεθα. Πόλεμον ἀθάνατον περὶ τὸ γήδιον ἔχουσιν. Οὔτε γὰρ (1) τοῖς πατράσι τοῖς ἡμετέροις ἐσπείσαντο (2), οὔτε τοῖς μετ' ἐκείνους ἡμῖν τὸν πόλεμον διελύσαντο· καίτοι ἀπαρχαῖς τοῦ θερισμοῦ πολλάκις αὐτὰς ἐτιμήσαμεν (3)· ἀλλὰ καὶ μοῖραν τοῦ γηδίου τινὰ, ὥσπερ ὀργάδας θεῶν (4), ταῖς ἀχαρίστοις δεδώκαμεν. Ἀλλ' οὐκ αἰδέσιμα τὰ δῶρα παρ' ἐκείναις (5), ὡς ἔοικε. Τοιγαροῦν ἅπαντες τῶν ἐντεῦθεν ἀπαίρομεν (6). Πέτρας γὰρ ἡμῖν γεωργεῖν συμφορώτε-

ρον (7) ἢ πεδία καὶ γηλόφους οἰκεῖν χαλεποὺς κεκτημένοις (8) τοὺς γείτονας.

ς'. ΕΤ. ΕΡΑΤΩ ΤΕΡΨΙΘΕΑ.

Τὸν χρυσοῦν Καλλικράτην (1) εἰκόνα σοι γεγραφέναι φασί. Τὴν δὲ γραφὴν οὐ Τερψιθέαν οἶμαι δηλοῦν, ἀλλὰ τὴν Λάκαιναν Ἑλένην, ναὶ δὴ (2) τοὺς ἀψευδεῖς Παῤῥασίου πίνακας (3). Τοιγαροῦν καὶ τὴν τέχνην καὶ τὴν φύσιν ἠδίκηκας (4), τὴν μὲν ἐνυβρίσασα, τὴν δὲ σοφισαμένη· ψεύσασθαι γὰρ τὴν Παῤῥασίου τέχνην ἠνάγκασας, καὶ τὰ μὴ προσόντα σοι διαποικίλαι τοῖς πίναξιν, ὥσπερ τὰ τῆς φύσεως καλλωπίζουσα σφάλματα καὶ πολλὴν ἐκείνης τὴν ἀτεχνίαν δεικνύουσα. Ἐγὼ δὲ καὶ τοῦ γραφέως ἐπαινέτις (5) εἰμί· οὐ γὰρ τῆς σῆς ἀμορφίας εἶναι ζωγράφος ἠνέσχετο· καὶ τῆς φύσεως τὴν σοφίαν τεθαύμακα κακίστῃ ψυχῇ σώματος εὐπρέπειαν μὴ καταπιστεύσασαν (6).

ζ'. ΗΘ. ΣΩΣΙΠΑΤΡΟΣ ΤΕΡΠΑΝΔΡΩ *.

Νόμος ἐστὶ ταῖς ἵπποις, ὥς γέ μοι δοκεῖ, καὶ μάλα σοφός· ἐπαινῶ γὰρ ἐγὼ τὸ (1) περὶ ταύτας λίαν φιλόστοργον. Ἀλλὰ τίς ὁ νόμος αὐταῖς; Τὴν ὑπομάζιον

ἵππον (2) ὅταν ἐνδεᾶ τῆς θρεψαμένης θεάσοιντο, καὶ πόῤῥω που τὴν τεκοῦσαν, οἷα συμβαίνει τινὰ, τοῦ γεννήματος (3), δρῶσί τι γεννικόν· οὐ γὰρ τῆς ἑαυτῶν ἐπιλανθάνονται φύσεως, καὶ περιθάλπουσι τὸ μονωθὲν κατ' οὐδὲν δυσχεραίνουσαι (4), ὥσπερ ἔκγονα συγγενῆ τε καὶ γνήσια (5). Καὶ φύσις μὲν ταύταις οὕτω φρονεῖν· οὐ γὰρ Σόλωνος ἠνάγκασε νόμος (6). Μετοχετεύσω τὸν λόγον (7) πρὸς σέ. Τὸν ἀδελφιδοῦν ὑπερορᾷς θύραν ἐκ θύρας ἀμείβοντα, ἀθλιώτατον τριβώνιον ἀμπεχόμενον· τῶν ἀλόγων ὄντως ἀλογώτερόν σοι τὸ φρόνημα (8). Κύνας ἀλλοτρίους σιτίζεις· οὕτω γὰρ τοὺς περὶ σὲ κόλακας εἰπεῖν οἰκειότερον (9)· εὐνούστατοι γὰρ εἶναί σοι δόξουσι μέχρις ὅτου τοῖς σοῖς ἐπεντρυφῶσιν, ὦ δείλαιος! ὑλακτήσουσι (10) δὲ πάντως καὶ σὲ, ἔτι τῆς κραιπάλης τῆς ἔναγχος ἐρευγόμενοι (11)· κολάκων γὰρ φύσις καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν εὐεπίληστον (12). Ὀψέ ποτε (13) σὸν ἀδελφιδοῦν περίθαλπε, Τέρπανδρε· εἰ δὲ μὴ, τὴν πρόνοιαν ἀκαταγώνιστον ἕξεις πολέμιον, τοῖς δακρύοις τῆς φύσεως τὴν ἑαυτῆς ἀκονήσασαν μάχαιραν.

η'. ΑΓΡ. ΔΑΦΝΩΝ ΜΥΡΩΝΙ *.

Μέχρι τίνος ἐπικοιλανεῖς τὸ γήδιον, καὶ τὸ κατομβρῆσαν ὕδωρ ἐπιῤῥοφήσεις (1), ὦ δείλαιος (2); Ἢ τάχα (3) μοι καὶ λιμώττειν τοὺς παῖδας διὰ τὸ κάτυχμον (4)

μηχανᾷ; τὸ σὸν μὲν (5) γὰρ ἐπιλιμνάζεται (6) γήδιον· τὸ δ' ἡμέτερον καὶ φύσιν ἠγνόησεν ὕδατος. Ἐρωτάσθωσαν πρὸς θεῶν αἱ νεφέλαι εἰ μόνῳ τῷ Μύρωνι (7) ἀφιᾶσι τὸ ὕδωρ. Ἀνὴρ ἐπίφθονος μέγα κακόν· εἰ δὲ καὶ τὸ γείτων εἶναι κεκλήρωται (8), ἀπαραίτητον τὸ δυστύχημα καὶ θανάτῳ μόγις παυσόμενον (9).

θ'. ΕΤ. ΕΥΡΙΠΗ ΔΕΞΙΚΡΑΤΕΙ *.

Ἑνάτῃ φθίνοντος Ἀνθεστηριῶνος (1) ἐπανήκειν πρὸς ἡμᾶς ἐπηγγείλω, καὶ διέψευσαι τὰς συνθήκας, Δεξίκρατες. Ἐμοὶ δὲ καὶ (2) ἀπῃθαλώθησαν αἱ φρένες τῷ ἔρωτι, καὶ δαλοῦ δίκην τὸ περιστέρνιον ἐκπεφλόγισται (3). Ἀπεκοττάβιζον δὲ καθ' ἡμέραν (4) τὰ δάκρυα· καὶ τὴν σὴν ὠνειροπόλουν ἐπάνοδον (5). Ὁ δὲ τῶν θυρῶν ψόφος ἀεί μοι φαντασία τῆς σῆς παρουσίας (6) ἐγένετο. Σὺ δὲ, Δεξίκρατες, μετοχετεύεις ἐφ' ἕτερα τὸν ἔρωτα, καί σοι τὸ ξένον ἀεὶ τιμιώτερον· τῷ γὰρ ταχίστῳ κόρῳ αἱ τῶν ῥᾳθύμων ψυχαὶ δουλαγωγεῖσθαι (7) εἰώθασιν. Ἄπιστόν τι χρῆμα πόθος (8) καὶ ἔρωτες. Βληθήσῃ καὶ αὐτός ποτε (9)· τῶν γὰρ ἀδικουμένων αἱ συμφοραὶ ἐπὶ τοὺς ἀδικήσαντας μεταβαίνουσιν.

ι'. ΗΘ. ΕΡΜΑΓΟΡΑΣ ΣΩΣΙΠΑΤΡΩ *.

Λίαν ἀγεννῶς ἀκήκοά σε τὴν πενίαν ὀδύρεσθαι, καὶ κακίζειν τὸν πλοῦτον, ὡς ὄντα παρὰ τοῖς ἀνθρώποις ἀνώμαλον, καὶ (1) τοῖς μὲν ἐφικτὴν, τοῖς δὲ δυσέφικτον τὴν ἑαυτοῦ παρεχόμενον κτῆσιν, ὥσπερ βασκαίνουσαν ἐπὶ τούτῳ τοῖς ἀνθρώποις τὴν φύσιν (2). Εἰ γὰρ ἡλίου λαμπηδόνες τοῖς ἀνθρώποις ἐπίσης καὶ πυρὸς ἀφθονία τοῖς ὅλοις (3) ἐστὶ προχειροτάτη, καὶ ποταμῶν ῥεῖθρα χειμάῤῥων τε ἀεννάων (4) ἅπασιν ἐστὶν εὐπόριστα, τί δῆτα, ἔφης, τὸν χρυσὸν ἡ φύσις οὕτως ἀπηκριβωμένον τοῖς ἀνθρώποις διέθετο (5), καὶ φιλόνεικον δῶρον τοῖς ὑπὸ σελήνην (6) ἀπένειμε, δι' οὗ μέγιστα κακὰ τοῖς ἀνθρώποις φοιτῶσιν (7); Ἐγὼ δὲ πλατὺν γέλωτα τῶν σῶν καταχέω δογμάτων· αὐτὸν γὰρ τὸν τῆς φύσεως ἔπαινον ὑπόθεσιν ψόγου πεποίησαι (8), καὶ ταυτὸν πέπονθας τῇ γλαυκί· ἀβλεψίας γὰρ αἴτιόν ἐκείνη δοκεῖ τὰς περιφανεῖς τοῦ ἡλίου (9) ἐκλάμψεις. Λυσιτελῶς λιμώττει χρυσοῦ τὸ ἀνθρώπειον (10) γένος, Σωσίπατρε. Ἐντεῦθεν γὰρ καὶ τέχναι τῷ βίῳ εἰσήχθησαν, καὶ πόλεις ᾠκίσθησαν (11), καὶ συναλλαγμάτων εὐμάρεια (12)· εἰ δὲ δεῖ συλλήβδην εἰπεῖν, πάσης εὐκοσμίας ἐστέρητο ἂν τὸ περίγειον ἐνδιαίτημα (13), εἰ μὴ χρυσὸς τοὺς ἀνθρώπους ἀλλήλων ἐπιδεεῖς ἐτεκτήνατο (14)· οὐ γὰρ ἂν πλωτὴρ ἐναυτίλλετο, οὐχ ὁδοιπόρος ἐνεπορεύετο, οὐκ ἀροτῆρα βοῦν (15) οἱ γεωργοῦντες ἐκέκτηντο, οὐ βασιλικῆς ἡγεμονίας ἐπρεσβεύετο σκῆπτρα, οὐκ ἀρχαῖς καὶ

προσφόροις (16) τὸ ὑπήκοον (17) ἐκεκόσμητο, οὐ στρατηγὸς ἐδημαγώγει τὸ στράτευμα· εἰ δὲ καὶ ἀπόῤῥητον λόγον θέλεις μαθεῖν, ἀρετῆς καὶ κακίας ὁ χρυσὸς τὰς ἡνίας πεπίστευται· καὶ βασανίζεται ἔφεσις ψυχῆς (18) δι' αὐτοῦ, καὶ τῷ Κελτικῷ ποταμῷ ἐστὶν ἐφάμιλλος (19)· νόθου γὰρ ἀρετῆς καὶ κακίας ἔλεγχός ἐστιν ἀληθέστατος.

ια'. ΑΓΡ. ΚΑΛΛΙΣΤΑΧΥΣ ΚΥΠΑΡΙΣΣΩΝΙ *.

Τῶν ἀκάρπων καὶ ἀνημέρων δένδρων τὴν φύσιν (1) ὁ Σιμιχίδας (2) χθὲς ἐνέπρησε· τοιαύτην γὰρ (3) τὴν καταδίκην τοῖς ἀτελεσφορήτοις ἐψηφίσατο δένδροις. Ἡ δὲ τοῦ παμφάγου πυρὸς (4) φύσις τὴν ὁρμὴν εἶχεν ἀκόλαστον, καὶ τοῦ ἀγρογείτονος (5) ἄφνω τὸ χωρίον διώλεσεν (6). Ὁ δὲ, τὴν διφθέραν ἀφεὶς καὶ τὴν δίκελλαν (7), πρὸς ἄστυ χωρεῖ ῥήτορα ληψόμενος σύμμαχον· καὶ τῷ Σιμιχίδᾳ δικαστήριον συγκεκρότηται (8). Τοῦτο κἀγὼ, Κυπαρίσσων, κατὰ σοῦ σκευωρήσομαι, εἰ μὴ ταῖς σαῖς μελίτταις προστάξειας τῶν ἐμῶν λειμώνων ἀπέχεσθαι (9)· καὶ μαθήσῃ ἀλλοτρίοις πόνοις (10) μὴ κεκτῆσθαι πρόσοδον ἄδικον.

ιβ'. ΕΥ. ΜΕΛΠΟΜΕΝΗ ΠΡΑΞΙΜΕΛΗ *.

Ἐπὶ τὸ Λεωκόριον (1) τὰς διατριβὰς ἡ αὐλητρὶς Χρυ-

σογόνη πεποίηται· τάχα που καὶ (2) τέρπειν οἴεται τοὺς ἐμοὺς ἐραστάς. Καὶ φησὶν ἡμᾶς τὸ πορνίδιον ἄγαν δυσανασχετεῖν ἐπὶ τῷ πράγματι. Ἐγὼ δὲ οὐ περὶ πολλοῦ πεποίημαι τὸ πραττόμενον· τοὺς γὰρ ἐραστὰς ὁποῖοι ὄντες τυγχάνουσι πρὸς ἡμᾶς τὰ τῆς Χρυσογόνης βασανίσειεν ἦθη (3). Ἀλλὰ γενοῦ (4) μοι, πρὸς θεῶν, ἀψευδοῦς ἀποκρίσεως σαφέστατος ἄγγελος, καὶ τῇ Λακαίνῃ φράσον· « Μεγίστας σοι χάριτας τούτου γε ἕνεκα, Χρυσογόνη, ὀφεί-« λομεν· τῇ σῇ γὰρ ἀμορφίᾳ (5) σεμνότερα δειχθήσεται τὰ « ἡμέτερα (6)· ἐπεὶ καὶ κολοιοῦ μὴ φανέντος κόραξ τοῖς (7) « εὐπρεπέσιν καταλογισθήσεται ὄρνισιν ».

ιγ'. ΗΘ. ΑΡΙΣΤΩΝ ΝΙΚΙΑ *.

Φιλομαθέστατον ζῶον φασὶ τὸν ἐλέφαντα καὶ ἀνθρωπείων διδαγμάτων μαθητὴν ἐπιδέξιον. Οὐ γὰρ ὁ τοῦ σώματος ὄγκος θαυμαστὸς παρ' αὐτῷ, ὅσον ὁ τῆς παιδείας κόσμος τετίμηται. Καὶ ταῦτα μὲν παῖδες περιθρυλλοῦσιν Ἰνδῶν· ἐγὼ δὲ τοῦ Νικίου τεθαύμακα τῶν ἀλόγων ζώων ἔχοντος τὸν λογισμὸν ἀλογώτερον (1). Ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ, τὰ πατρῷα ἐκλελάκτικας ἔθη (2), περὶ δὲ κύβους καὶ παλαίστρας τὴν τοῦ βίου σχολὴν καταναλώσας (3), καὶ γέγονας πέρας (4) εὐγενείας τῷ γένει. Εἰ τοίνυν παῖς ἀκούειν Ἑρμαγόρου ἐθέλεις (5), ὀψέ ποτε πρὸς τὸν ἐκείνου βίον ἐπάνηκε (6)· ἀγαθὸν γὰρ ὅτῳ κἂν ἐν γήρᾳ

σοφία τε καὶ φρόνησις παρῇ (7), καθὰ δοκεῖ καὶ τῷ Πλάτωνι. Εἰ δὲ τῶν πάλαι κακῶν δυσανασχετεῖς μεθιστάναι καὶ παῖδα σαυτὸν Ἑρμαγόρου κηρύττεις, τυμβωρύχος ἴσθι τοῦ πατρῴου τάφου γινόμενος (8)· τῇ σῇ γὰρ κακίᾳ τὰς ἐκείνου ἀρετὰς καθυβρίζεις.

ιδ'. ΑΓΡ. ΜΥΡΩΝΙΔΗΣ ΔΑΜΑΛΩ *.

Τὸ ποίμνιον ἅπαν ὁ σὸς ἐλυμήνατο (1) παῖς. Τὸ κισσύβιον ἀεὶ πληρῶν (2) τοῦ γάλακτος, ἐπὶ τὰς πλατάνους ὁ λωποδύτης χωρεῖ, καὶ, στιβάδα ποιήσας, ἀμερίμνως ἀνεπέπτωκε, καὶ τὸν ἁβροδίαιτον βίον ἀσπάζεται (3). Εἶτα τὴν σύριγγα κομισάμενος, ὥσπερ ἐπιδείπνιον ᾠδὴν τὴν εὐθυμίαν προβάλλεται (4), καὶ τοὺς ἀγροικικοὺς παραχαράττει θεσμούς. Τὰ θρέμματα δὲ τῇδε κἀκεῖσε διέσπαρται καὶ πρὸς ἔφοδόν (5) ἐστιν εὐάλωτα. Ναὶ δὴ καὶ τοὺς ὄνθους εὐώνως (6) διαπιπράσκει ὁ δείλαιος, καὶ Μυρωνίδην ἀδικῶν οὐκ αἰσχύνεται. Εἰστίων χθὲς τὸν Τρυγίαν λαμπρῶς (7)· ἰσχάδες γὰρ ἦν μοι καὶ ἀκρίδες (8) τὰ ὄψα. Ὁ δὲ θεσπέσιος οὑτοσὶ νεανίας τῶν ἰσχάδων τὰς πλείστας (9) ἐκβέβρωκε, καὶ τὰς ἀκρίδας οὐκ οἶδ' ὅπως ἐξερρόφησεν (ὁ δὲ Τρυγίας ἐκεχήνει), καὶ μοῖράν τινα ἤτει μετὰ κόρον κομίζεσθαι οἴκαδε. Ἀπίτω μοι λοιπὸν τῶν ἀγρῶν ὁ Κλεινίας (10)· τῶν γὰρ πόῤῥω κακῶν αἱρετώτερόν ἐστιν ἀνέχεσθαι ἢ πολέμιον οἴκοι τρέφειν κρυπτόμενον.

ιε'. ΕΤ. ΑΤΑΛΑΝΤΗ ΚΟΡΙΝΝΗ *.

Ἐν τῇ παλαίστρᾳ τὸν Αὐγείαν τεθέαμαι, Κόριννα· τὴν δὲ θέαν οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεῖρες μιμήσαιντο (1). Ἦν γὰρ ὁ νεανίας εὐσθενὴς, ὄρθιος, τὸ περιστέρνιον λάσιος· οἱ δὲ ὀφθαλμοὶ δορκάδος (2) αὐτῷ· τὸ δὲ βλέμμα οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον ὑγρότητι, ἀλλ' ἀνδρεῖον καὶ πρᾶον ὁμοῦ· ἡ δὲ χροιὰ ἡ τοῦ σώματος (3) οὔτε πρὸς τὸ θηλυπρεπὲς ἐλευκαίνετο, οὔτε πρὸς τὸ μελάντερον κατεσκίαστο· ἡ δὲ θριξ ἠρέμα πως ἐπεκύμαινε (4) τῇ οὐλότητι καὶ κυανίζουσαν ὥρᾳ γαλήνης τὴν θάλατταν εἰκονίζετο, ὅτε καὶ τὴν γείτονα χέρσον (5) ἁπαλῷ περιπτύσσεται ῥείθρῳ, τὸ μανιῶδες τοῦ κλύδωνος καὶ βάρβαρον παρεάσασα· αἱ δὲ παρειαὶ οὔτε κατέρυθροι (γυναικῶδες γάρ), οὔτε πάλιν ὠχρότητι τὴν εὐπρέπειαν (6) ἐπεστύγναζον· ἡ δὲ ῥὶν λίαν σεμνῶς ἐτετόρνευτο, καὶ πολλὴν τῆς δημιουργοῦ φύσεως (7) τὴν ἐπιστήμην ἀπήλεγχε· τὸ δὲ ἔλαιον ἐπιχεόμενον ἡλιοειδῶς περιήστραπτε, καὶ ταῖς μαρμαρυγαῖς τῶν ἐκλάμψεων τὴν παλαίστραν ἀκτίνων δίκην ἠγλάϊζε. Πέπονθα, Κόριννα, τὴν ψυχὴν, καὶ δριμυτέρας τῆς ἀληθόνος αἰσθάνομαι· ἐρωτικὸν γὰρ διηγήσασθαι πάθος τὸ γυναικεῖον φῦλον (8) αἰσχύνεται.

ις'. ΗΘ. ΓΟΡΓΙΑΣ ΑΡΙΣΤΕΙΔΗ *.

Δανειζόμενος γέγηθας· εἰσπραττόμενος ἀνιᾷ, καὶ συν-

αντῶν τοῖς δανεισταῖς καταπλήττῃ τῷ φόβῳ, ὥσπερ θηρίοις τισὶ φοβεροῖς καὶ ἀνημέροις (1) ἐντυγχάνειν δοκῶν· καὶ περισκοπεῖς τὰς τριόδους καὶ πρὸς τὰς στοὰς ἀφορᾷς, τοὺς δανειστὰς δραπετεύειν (2) γλιχόμενος, ὥσπερ οἱ ναυτιλλόμενοι ἐν μεγάλῳ τῷ κλύδωνι λιμένος τυγχάνειν ὀρέγονται. Ἀλλὰ σὺ καὶ κακῷ τὸ κακὸν ἐπινέμῃ (3)· δανειζόμενος γὰρ παρ' ἄλλων, ἄλλοις ἀποδίδῳς τὸ ὄφλημα, ταυτόν τι ποιῶν (4) τοῖς διὰ φόβον θανάτου κατακρημνίζουσιν ἑαυτούς (5). Ἐπειδὴ τοίνυν τὸ δανείζεσθαι (6) πολυσχιδές τι τοῖς (7) ἀνθρώποις ἐστὶ κακὸν, καὶ τῆς μυθικῆς ὕδρας τοῖς αὐτομάτοις γεννήμασιν (8) ἐστὶ χαλεπώτερον, καὶ ἐν (9) ταῖς καθ' ὕπνον φαντασίαις εὐλαβοῦ τὸ δανείζεσθαι· οὕτω γὰρ ἐλευθέρως τὰς ἡλιακὰς ἀκτῖνας προσβλέψειας καὶ τὸν ὑπὲρ γῆς (10) ἀέρα λίαν προσηνῶς ἀναπνεύσειας (11).

ιζ'. ΑΓΡ. ΛΟΦΩΝ ΠΕΔΙΑΔΗ *.

Μὴ ἴκοιτο ὥρας (1) ὁ Λεύκιππος· κακὸν γὰρ ἡμῖν ἔτρεφε τὸ χωρίον θηρίον περὶ τὸν ὄρον (2) τοῦ λοφιδίου. Ἐμοὶ καὶ Σωστράτῳ συνεκεκρότητο δικαστήριον (3)· ὁ δὲ Λεύκιππος (4) ὅλας (5) τὰς φρένας διέφθαρτο, καὶ χρυσοῦν τὸ δικαστήριον θεάσασθαι ὠρέγετο (6)· τοιοῦτον φιλόχρυσον πάθος κατέχει τὸν δύστηνον (7). Τοῦτο καὶ Σώστρατος ἐπιγνοὺς, χρυσῷ τὴν νίκην ὠνήσατο, καὶ τὸν λαιμὸν τοῖς δώροις τοῦ Λευκίππου ἐπέδυσεν (8). Ἡ παρθένος

Δίκη (9) διέφθαρται, καὶ χρυσὸς τοῖς ἀνθρώποις τὸ νικᾶν ταλαντεύεται· ἡ γὰρ ἰσόῤῥοπος κρίσις ἀπόλωλε (10)· δῶρα γὰρ μᾶλλον ἢ τὸ δίκαιον ἀξιόπιστον.

ιη'. ΕΤ. ΕΡΩΤΥΛΟΣ ΥΨΙΠΥΛΗ *.

Ὀργῶσι καὶ φοίνικες ἔρωτι φυσικῷ, καὶ τοῦ θήλεος τὸ ἄῤῥεν ἐφίεται· καὶ περικυρτοῦται ὁ ἄῤῥην τῷ ἔρωτι, καὶ τῇ κόμῃ τὴν ἐρωμένην προσπλέκεται (1)· εἰ δὲ καὶ πόῤῥω τὸ θῆλυ τοῦ ἄῤῥενός ἐστὶ (2), ψῆνας (3) ἐκ τῆς θηλείας οἱ φυτουργοῦντες ἀράμενοι (4) τῷ ἄῤῥενι περιάπτουσι, καὶ τῷ (5) σοφίσματι ψυγαγωγοῦσι τούτου τὸν ἔρωτα. Εἰ τοίνυν ἐπανήκειν θᾶττον οὐχ οἵα τε (6) εἶ πρὸς ἡμᾶς, παρηγόρει μοι διὰ ζωγράφου τὸν ἔρωτα, καὶ πίναξιν ἡ γραφὴ φαντασίαν τῆς σῆς παρεχέτω μοι θέας (7)· ἱκανὴ γὰρ καὶ δόκησις τοὺς ἄγαν ἐρῶντας σοφίσασθαι.

ιθ'. ΗΘ. ΔΙΟΓΕΝΗΣ ΧΡΥΣΗ.

Πλούτου σε ταμίαν, οὐ δεσπότην χρημάτων (1) εἶναι φημί· τοιαύτην γὰρ τὴν καταδίκην οἱ σοὶ κατὰ σοῦ εἰσηνέγκαντο (2) τρόποι· ἀγαθοῦ γὰρ μετέχειν τινὸς τὰς ἀνοσίους οὐ θέμις ψυχάς (3). Κατόρυττε τοίνυν τὴν γῆν (4), καὶ τὸν χρυσὸν περιφρούρει, τρισάθλιε· οὐ γὰρ σὸς, ἀλλὰ

παρὰ σοὶ ὁ πλοῦτος εἶναι πεπίστευται (5). Τοῦ Φρυγὸς γὰρ Μίδου τὴν κακίαν ζηλώσας, λιμώττων πλουτεῖς, βρόχοις ὥσπερ χρυσοῖς ἀπαγχόμενος.

κ'. ΑΓΡ. ΧΑΟΑΖΩΝ ΜΗΚΩΝΙ *.

Ἀχράδας χθὲς, Μήκων, πέπομφα τῇ ποθουμένῃ· ἡ δὲ τὴν κρόκην ἀπέῤῥιψε καὶ τῆς ἱστουργίας εὐθὺς ἐξανίστατο, καὶ λαβοῦσα τὰ δῶρα τοῖς χοίροις διένειμε, καὶ τὸν πρέσβιν (1) ὡς ἀπαίσιον ἄγγελον ἀπεπέμψατο. Ἐγὼ δὲ κλάω· φοβερὸς γὰρ ὁ Ἔρως ἡμᾶς ἀδικῶν, ἀπρεποῦς κόρης βιαζόμενος ἐρᾶν (2). Τυφλώττουσι Τύχη καὶ Ἔρωτες, οἱ μὲν τὰς ἀλγηδόνας, ἡ δὲ τὴν εὐδαιμονίαν εἰκῇ καὶ ὡς ἔτυχε (3) παρεχομένη.

κα'. ΕΤ. ΠΕΡΔΙΚΚΑΣ ΡΟΔΟΠΗ *.

Ἄδεις ἀμούσως, καὶ λυπεῖς, οὐ τέρπεις, τοὺς ἐραστάς· τραγῳδίαν γὰρ ἀναμινύρῃ (1), οὐ θελκτήριον ᾠδὴν τοῖς ἀκούουσι. Καὶ δακρύουσιν οἱ ἐρασταὶ ἀνιώμενοι· σώφρονας γὰρ αὐτοὺς ἀντὶ λάγνων τὰ σὰ διδάσκουσιν (2) ᾄσματα· οὐ γὰρ ἐπαγωγὸν τὴν μελῳδίαν πεποίησαι. Φεῖσαι τοίνυν, πρὸς θεῶν, ἀνιωμένων ἡμῶν· οὐ γὰρ αὐλητρὶς, ἀλλὰ θρηνήτρια, τοῖς θεαταῖς εἶναι δοκεῖς. Καὶ κηρῷ τὰ ὦτα πάντες

ἐμφράξομεν (3), εἰ μελῳδίαν ἀσκήσειας. Σειρήνων γὰρ ἡ Μουσῶν ὀδυρομένων ἀκούσομεν (4).

κϚ'. ΗΘ. ΑΝΤΙΣΘΕΝΗΣ ΠΕΡΙΚΛΕΙ *.

Ὁ Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐτετύφωτο, ἀλλ' ἐφιλοσόφει τὰ τῆς τύχης φυσήματα (1) μεγίσταις εὐφημίαις οὐκ εἰωθὼς δελεάζεσθαι. Διά τοι τοῦτο (2) ἐν τῇ τοῦ πολέμου (3) ῥοπῇ θεασάμενος πεπτωκότα Δαρεῖον, τῇ χλαμύδι τὸν ἐχθρὸν περιέσκεπεν (4), ἀρετῆς καὶ τύχης ἐνδεικνύμενος τὴν εὐμένειαν (5). Ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον, καὶ ἦν ἔγκλημα τῷ βασιλεῖ ἡ εὐσέβεια. Ὁ μὲν οὖν Ἀλέξανδρος, ἅτε δὴ φιλόσοφος ὢν, ἐδεδοίκει τὸ τῆς τύχης, ὡς ἔοικεν, ἄδηλον· διὸ καὶ πλείστων αὐτῷ ἀγγελθέντων ὑφ' ἓν (6) εὐτυχημάτων, ἔφη· « Ὦ Ζεῦ, μῖξόν τι τοῖς ἀγαθοῖς καὶ « δυστύχημα ». Οὕτως εὐλαβεῖτο τὰς εἰς ἄκρον εὐεξίας (7) ἐμφρονέστατα ὁ Ἀλέξανδρος. Εἰ μὲν οὖν γειτνιῶσαν ταῖς τροπαῖς τὴν φύσιν (8) ἠγνόησας, μετ' οὐ πολὺ τὴν πεῖραν ὄψει (9) διδάσκαλον, καὶ τῆς γνώσεως ἕξεις πρεσβύτερα τὰ μαθήματα (10)· εἰ δὲ τυφλώττεις ἑκών, χαλεπωτέρας τῆς ποινῆς ἐπιτεύξῃ, πλημμελημάτων καὶ γνώσεως εἰσπραττόμενος δίκας (11).

κγ'. ΑΓΡ. ΑΣΤΑΧΥΩΝ ΜΗΛΩΝΙ *.

Τὸν ἀγρὸν τοῦ κωνείου ἐκκάθαρον (1)· τὰς ἐμὰς γὰρ ἐλυμήνω μελίττας (2). Μὴ πάρεχε, πρὸς θεῶν, πράγματα ἀνδρὶ γεωργῷ. Οὐδὲν κηφήνων ἡμῖν διενήνοχας. Τί δῆτα χαλεπαίνεις ἀλόγως τῷ γείτονι; Εἰ μὴ (3) τῆς κακίας ἀποσταίης, παμπόνηρε, τὴν σὴν ἀκολασίαν ταῖς ἐμαῖς ἐπιγράψαιμι θύραις, καὶ τοῖς ἀγρογείτοσι τὴν ἀδικίαν ἐνδείξαιμι (4), ἵνα σε πάντες ὥσπερ τι κακὸν δυσάντητον ἀποφεύξωνται (5).

κδ'. ΕΤ. ΤΕΛΕΣΙΛΛΑ ΛΑΙΔΙ *.

Οὔτε φλέβα (1) χρυσοῦ μεταλλουργοὶ ἀνιχνεύοντες, οὔτε φρεωρύχοι τὰ τῆς γῆς ἐρεβοδιφῶντες ἀπόῤῥητα, ὀφθαλμοὺς ὑδάτων ἀναζητοῦντες θεάσασθαι (2), οὕτω περὶ τὴν ἑαυτῶν ἐσπουδάκασι τέχνην, ὡς ἐγὼ τὴν πόλιν ἐσκινδαλάμιζον ἅπασαν, εἴ που (3) τὸν Ἀγησίλαον ἦν μοι θεάσασθαι. Πότον (4) γὰρ αὐτῷ πεποιηκέναι τὴν μαινάδα Λευκίππην ἀκήκοα· καὶ ῥαγδαῖος σκηπτὸς ἡμῖν ἐνεδήμησε (5), καὶ τὸ πάθος ἀπαρηγόρητα φλεγμαίνει μοι δάκρυα. Διὸ τῆς τραγῳδίας συνέριθος ἔσομαι (6)· οὐ γὰρ ἀνίσχοντα λοιπὸν τὸν ἥλιον θεασόμεθα (7)· οὕτω καὶ Μηδείας καὶ Φαίδρας φοβερωτέρα (8) γενήσομαι.

κε'. ΗΘ. ΣΩΣΙΠΑΤΡΟΣ ΑΞΙΟΧΩ *.

Τὸν ἀδελφὸν ἔναγχός σε θάψαι φασὶ, καὶ λίαν ἐπὶ τῷ πάθει ἀπαρηγόρητα δυσφορεῖν. Καὶ πῶς σε φιλόσοφον ἄνδρα θαυμάσαιμι, ἐπὶ τοσοῦτον ὑπὸ τοῦ πάθους ὑπερνικώμενον (1); ὕπνος γάρ τις ἐστὶν (2) ὁ παρ' ἡμῖν περιθρυλλούμενος θάνατος (3), τοῦ μὲν συνήθους τούτου μακρότερος, πρὸς δὲ τὴν μέλλουσαν ἡμέραν βραχύτατος· ἐπὶ μακρὰν (4) ἀποδημίαν οἱ τεθνηκότες ἐσταλησαν. Οὐκ ἐπὶ πολὺ (5) τούτων ἡμῖν ὁ χωρισμός· καρτέρησον τὴν διάζευξιν· ἀνάμεινον αὖθις τὴν ἕνωσιν. Μὴ πάθῃς τι φιλοσωμάτου ψυχῆς· ἐπεὶ καὶ Πλωτῖνος ἐῴκει αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη (6)· οὕτως ἐλύπει τὸν φιλόσοφον τὸ θνητὸν τοῦτο περισκήνιον. Στῆσόν μοι μέχρι τούτου τὸ δάκρυον· ὅρους νομοθέτει τῇ λύπῃ (7)· φρονήσει τὸ πάθος θεράπευσον· ἰατρὸς γενοῦ σαυτοῦ (8)· ἔχεις λόγου τὸ φάρμακον (9)

Νηπενθὲς, ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων.

Οὐκ ἐκ τοῦ κρείττονος (10) ἐπὶ τὸ χεῖρον παράγει ποτὲ ὁ δημιουργὸς τὰ ποιήματα. Τοῖς θνητοῖς τὰ θνητὰ καταλείψωμεν (11)· μεγάλαις γὰρ κηλῖσιν ἐνθάδε τὸ βασιλικὸν τῆς ψυχῆς καταστίζεται. Ἐγὼ τὴν γένεσιν ἢ τὸν θάνατον μᾶλλον δακρύσαιμι (12)· τὸ μὲν γὰρ δακρύων ἀρχὴ, τὸ δὲ τῶν ἀνιώντων (13) κατάλυσις. Ἄγνοια (14) περιδεεῖς ἡμᾶς ἀπεργάζεται, καὶ θάνατον εὐλαβούμεθα, οὐχ ὅτι

κακὸν, ἀλλ' ὅτι τοῖς ἀνθρώποις ἠγνόηται. Οὗ γάρ τις τὴν γνῶσιν ἀφήρηται, τούτου κατηγορεῖ προχειρότατα. Μὴ γένοιο τοίνυν τῇ Νιόβῃ ἐφάμιλλος, ἵνα μή που δόξῃς καὶ αὐτὸς λίθῳ τὴν ἀνθρωπείαν φύσιν ἀμείβεσθαι.

κς'. ΕΤ. ΚΕΚΡΟΠΙΣ ΔΕΞΙΚΡΑΤΕΙ *.

Τὴν μαγνῆτιν λίθον (1) ἐρᾶν τοῦ σιδήρου φασὶ, καὶ τοσοῦτον ζῆν ἱστοροῦσι (2) τὴν λίθον, ὅσον τῷ ἐρωμένῳ καὶ σύνεστιν. Ὁπηνίκα γὰρ ἡ λίθος τοῦ ὁμοζύγου χωρίζεται (3), παραυτίκα νεκροῦται καὶ τὴν ἑαυτῆς ἐνέργειαν ἀποτίθεται· τοιαῦται προσπάθειαι, Δεξίκρατες, καὶ τοῖς ἀψύχοις ἐγγίνονται. Ἐγὼ δὲ τί ἂν πάθοιμι, φίλτατε, ἐπὶ τοσοῦτον ἀπολιμπανομένη τῆς σῆς ἐνδημίας; οἶμαι καὶ τὸ φράσαι τοῦ παθεῖν χαλεπώτερον. Οὕτω λυπήσαιμι τοὺς λυπήσαντας καὶ βέλος γενοίμην τοῖς ἐρῶσι (4)· σπινθὴρ ἀφροδίσιος θαλάττης φλογὸς (5) φλογωδέστερος.

κζ'. ΑΓΡ. ΘΕΡΙΣΤΡΩΝ ΣΠΕΙΡΩΝΙ *.

Ἐπὶ τὴν Αἴτνην τὸ Σικελικὸν ὄρος ἀπαίρομεν, εἰπόντες χαίρειν τῇ Ἀττικῇ· οὐπώποτε (1) γὰρ δυστυχεστέραν γῆν πρὸς ἐπίδοσιν καρπῶν ἑωράκαμεν· ἀντὶ πυρῶν μυῤῥίνας,

ἀντὶ κριθῶν κιττὸν ἡμῖν ἀπεκύησεν· ἡ δὲ σιπύη κενὴ, καὶ (2) ἡ ἄλως λιμοῦ μοι πεπλήρωται. Διά τοι τοῦτο τῶν πρώτων μοι μὴ ἐκφυέντων σπερμάτων, οὐκ ἂν αὖθις τῇ ἀγνώμονι καταβάλοιμι (3)· οὐ δύναται γὰρ γεωργὸς καὶ (4) λιμὸν καὶ στρατιώτην ἔχειν πολέμιον· ὥσπερ οὐδὲ πλωτῆρες οἷοί τέ εἰσι πνεύμασιν ἅμα καὶ κραυνοῖς (5) ἀντιμάχεσθαι.

κη'. ΗΘ. ΗΡΑΚΛΕΙΔΗΣ ΑΝΤΙΣΘΕΝΕΙ.

Οὔπω μοι (1) τῆς ὀργῆς ὑφῆκας (2), Ἀντίσθενες· ἀλλ' ἔτι χαλεπαίνεις ἡμῖν καὶ κρύπτεις τὴν ἀνίαν προσηνῶν ῥημάτων προσχήματι, ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες (3). Ἐκκάθαρον λοιπὸν (4) τῆς καρδίας τὴν λύπην (5)· τοῦτο γὰρ οἱ ἡμέτεροι λόγοι πρεσβεύονται· εἰ δὲ μὴ, καὶ τῆς θαλάττης (6) ἀπηνέστερος ἔσῃ· κατευνάζει γὰρ ἐκείνη τὸ ἄγριον καὶ παρέχεται τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ὁπηνίκα τῷ ἐλαίῳ (7) φιλοφρονοῦνται ἄγαν τοῖς κύμασι χαλεπαίνουσαν.

κθ'. ΑΓΡ. ΑΑΧΑΝΩΝ ΠΗΓΑΝΩΝΙ *.

Ἧκέ μοι πρὸς τοὔλαιον αὔριον (1)· ἐκδημήσαιμι (2) γὰρ τοῦ ἄστεος καὶ δαιτυμὼν ἔσομαι (3), φίλτατε. Νύμ-

φαις γὰρ καὶ τῷ Πανὶ τοῦ ποιμνίου τὰς ἀπαρχὰς ἀναθήσαιμι (4)· εὐνοοῦσι γὰρ ἡμῖν ὀψέ ποτε οἱ θεοί. Τὰ κισσύβια πεπλήρωταί μοι (5) τοῦ γάλακτος· αἱ ἄρνες εὐγόνως τετόκασι· περισκιρτῶσιν αἱ αἶγες, ἐπὶ ταῖς εὐτυχίαις ὥσπερ γηθόμεναι· πεπαύμεθα πενίᾳ μαχόμενοι δυσνουθετήτῳ θηρίῳ καὶ δυσκόλῳ· δίκην ἕλκους τοῖς κεκτημένοις ἐμπλέκεται (6)· φιλοσύνηθές ἐστι κακὸν, ῥαθυμοποιὸν (7), κατηφὲς, πρὸς λύπην ἀπαρηγόρητον, πρὸς ἀνίαν ὀξύῤῥοπον, ἄγρυπνον, φιλομέριμνον, ἐπίμοχθον, κακῶν ἐφευρετικὸν, ἄδοξον, εὐκαταφρόνητον, ἀνεπίφθονον· οὐ γάρ τις ἐθέλει τηλικούτῳ κακῷ συναντᾶν, οὐδ' εἰ τὴν Ὀρέστου μανίαν νοσεῖν κατακριθείη (8). Ῥίψαντες τοίνυν τὰ τῆς πενίας τῇ πενίᾳ, ἐφ' ἑτέραν μεταστησόμεθα (9) λῆξιν, μετὰ τῆς τύχης (10) ἀμείψαντες καὶ τὸ φρόνημα.

λ'. ΕΤ. ΡΟΔΙΝΗ ΚΑΛΛΙΟΠΗ *.

Ἐπὶ τῶν ἐραστῶν διασύρεις καὶ σκώπτεις ἡμᾶς τὸ καὶ τὸ (1), κεχαυνῶσθαί μοι τὸ σύντονον καὶ σφριγῶν τοῦ σώματος διαπαίζουσα· σὺ δὲ τὴν σὴν πανουργίαν κεκρύφθαι δοκεῖς. Ἀτελεσφόρητα γὰρ τὰ κυοφορούμενα ἀποσπᾷς, ὦ παμμίαρε, καὶ τὰς ἀμβλώσεις ἢ τοὺς τοκετοὺς αἱρετωτέρας πεποίησαι, δριμυτέροις φαρμάκοις τὰ ζωογονούμενα ἐν τῇ σῇ γαστρὶ περιπνίγουσα· καὶ τῆς φονικῆς Μηδείας ἀπηνεστέρους ἀπεργάζῃ τοὺς φόνους. Παιδοκτόνον ἐκείνην·

ἐδίδασκεν ἀγνώμων ὁμόζυγος τὴν αἰνετὴν (2) καὶ τῶν ἀγώνων τὴν σύμμαχον· σὺ δὲ διὰ τὴν τοῦ κάλλους εὐπρέπειαν μυρίας ξυμφορὰς ἀπεργάζῃ (3), πορνίδιον. Παῦσαι δῆτα τὴν σὴν ἀπανθρωπίαν καλύπτουσα, καὶ τὴν ἡμετέραν εὐσέβειαν διαπαίζουσα. Φιλανθρωπότερον παρ' ἡμῖν ὁ τοκετὸς τῆς ἀμβλώσεως. Ἴσθι δὲ καὶ γῆν (4) ἐπὶ σοὶ χαλεπαίνουσαν καὶ παιδοκτονίας ποινὰς οὐ ῥᾳθυμοῦσαν εἰσπράττεσθαι.

λα'. ΗΘ. ΗΦΑΙΣΤΙΩΝ ΘΑΛΗΤΙ *.

Τὸ Μηδικὸν ὄρνεον ὁ ταὼς (1) καὶ τῶν Μήδων τὴν ὑπεροψίαν κεκλήρωται, μέγα τι καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν (2). Τούτου καὶ τὴν θήλειαν ἠττᾶσθαι δοκεῖ (3). Τὸ πτερὸν τοιγαροῦν οἷα δὴ κόμην ἀνίστησι καὶ περιφανέστατόν τι τοῖς ὁρῶσι κάλλος (4) παρέχεται, καὶ κυκλικὸν ἀπεργάζεται σχῆμα, καὶ τὸν οὐράνιον εἰκονίζεται κόσμον, καὶ τοῖς ὀφθαλμοῖς τοῦ πτεροῦ τὴν τῶν ἄστρων διακόσμησιν ἀναπλάττεται. Καὶ τοῦτο μὲν Μηδικῶν ὀρνέων ἦθος φιλόκαλον· οὐ γὰρ βασκαίνουσι τὴν ἑαυτῶν εὐκοσμίαν ζωγράφους διδάσκοντες· σὺ δὲ τοῖς σοῖς ἐπωάζεις συγγράμμασι (5), καὶ τὰς σὰς ἀρετὰς συγκαλύπτεις (6), καὶ τοὺς πόνους ἀνεπιδείκτους (7) ἐᾷς, τηλικαύτης ὠφελείας ἡμᾶς χηρεύοντας παρορῶν. Εἰ μὲν οὖν βασκανία τίς ἐστιν ὑμᾶς (8) τὸ λυποῦν,

ἀφιλόσοφον τὸ ἐγχείρημα καὶ τῆς σῆς ἐπαγγελίας ἀλλότριον· εἰ δὲ ὄκνος τὴν ἀναβολὴν ταμιεύεται (9), ταὐτόν τι πέπονθας ἀνδρὶ γεωργῷ πολλοὺς τοὺς ἱδρῶτας δεδανεικότι τῇ γῇ, καὶ θέρους ἀκμῇ μὴ ὀρεπομένῳ τοὺς στάχυας.

λϑ'. ΑΓΡ. ΠΟΑΣ ΑΜΠΕΛΙΩ *.

Δεῦρο ξυναυλίαν, ὦ γερόντιον, κλαύσωμεν (1). Ὁ ποταμὸς (2) ἀνεσκίρτησε καὶ κακὸν ἡμῖν ὠρχήσατο (3) σκίρτημα· ὅλον τὸν ἀγρὸν ἐπεκλύσατο καὶ τὰ νεόγονα (4) τῶν ἀμπέλων ὁ φοβερὸς ἐπεβύθισε. Τὸ δὲ μεῖζον δυστύχημα, οὐκ ἐθέλει (5) ὁ μιαρὸς τῶν ἐντεῦθεν ἀπαίρειν, ἀλλ' ἐμφιλοχωρεῖ (6) τῷ γηδίῳ καὶ κοίτην τὸν ἀγρὸν πεποίηται τὸν ἡμέτερον. Καὶ δακρύων ἄξιόν ἐστιν ἰδεῖν· ἀντὶ γὰρ ἀμπέλων τοὺς ἰχθύας γεωργοῦμεν οἱ τάλανες. Ὅταν ὁ ποταμὸς ἐθέλῃ (7), ἀγρεύομεν· ὅταν ἐθέλῃ, λιμώττομεν· καὶ μέγα τί μοι δῶρον φιλοτιμεῖσθαι δοκεῖ. Εἴθε τῷ θέρει τὰς νεφέλας μηδαμῶς ἱκετεύομεν ὄμβρον ἡμῖν κυμῶσι χαρίζεσθαι· οὕτω γὰρ ἅπερ κεκτήμεθα (8) οὐκ ἂν ἀφῃρήμεθα. Ποταμὸς γὰρ αὐτὸς καθ' ἑαυτὸν (9) ἐπαχθής· εἰ δὲ καὶ ὄμβροις πλουτήσειεν (10), τοῦ πυρός ἐστιν ἀκρατέστερος, καὶ μέτροις οὐ χαλινοῖ (11) τὰ φρυάγματα.

λγ'. ΕΤ. ΓΑΛΑΤΕΙΑ ΘΕΤΙΔΙ.

Ἐπαινῶ σου τὴν φρόνησιν, καὶ τὸ λίαν ἐμπειρότατον ἄγαμαι· ὥσπερ γὰρ ἐκ τρίποδός τινος Πυθικοῦ (1) τὰ μέλλοντα διηγήσω μοι καὶ τοῦ Λυγκέως ὀξύτερον (2) τὰ βαθύτερά τε καὶ ἀφανῆ τῶν πραγμάτων ἐσκόπησας. Ὁ Καλλίμαχος ἡμᾶς καταλέλοιπεν· ἀπέπτη μετεωριζόμενος ὀξυτάτῳ τῷ (3) τοῦ κόρου πτερῷ· ἐδραπέτευσεν ἡμᾶς ὁ παμμίαρος, καὶ γέγονεν ὁ κόρος αὐτῷ τῆς ἐπιθυμίας πρεσβύτερος (4). Σὺ δέ μοι παρήνεις πολλά· «Ὅρκοις μὴ πείθου, Γα-« λάτεια· ὅρκων τοῖς (5) ἐρῶσιν οὐδέν ἐστιν εὐχερέστερον ». Ἐρωτικῶν γὰρ οἱ νέοι μεθύοντες ἡδονῶν καὶ τὸ καλῶς ἀφαιροῦνται βουλεύεσθαι, πράττουσί τε καὶ φθέγγονται ὅσα νομοθετοῦσιν οἱ Ἔρωτες· οὐ γὰρ αὐτοκίνητον ἔχουσι τῶν πραγμάτων τὴν ἔφεσιν· ἀπιστία πίστεως ἔοικεν ἀσφαλέστερον, καὶ πρὸς ἀπάτην ὅρκος σοφιστής ἐστιν ἀξιόχρεως.

λδ'. ΗΘ. ΘΕΜΙΣΤΟΚΛΗΣ ΧΡΥΣΙΠΠΩ *.

Ἐπειδὴ σωφροσύνη καὶ παρὰ τῷ μύθῳ τετίμηται, ἄγε δῆτα, Χρύσιππε, διαμυθολογήσομαί σοι (1) μῦθον οὐκ ἄσεμνον.

Ἀφίκοντό ποτε πρὸς τὸν Δία τὰ ὄρνεα καὶ τὸν Ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα παρασχεῖν αὐτοῖς (2)· ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν (3), καὶ μεγίστου τινὸς

ἀγαθοῦ, ἡγεμονίας, ἐχήρευον, καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτηντο. Ἐπένευσε τοίνυν ὁ Ζεὺς, καὶ γέγονεν ἔργον τὸ βούλημα, καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν· βασιλέως γὰρ ἦν ἀξίωμα τὸ διδόμενον. Προσέταττε δῆτα τοῖς ὄρνεσιν ἐπὶ λίμνας καὶ πηγὰς (4) ἀφικέσθαι καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον, καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπίστευσεν· ἦν γὰρ εὐπρέπεια παρὰ τῷ Διΐ τὸ τιμώμενον. Ἐλούσαντο δῆτα οἱ ὄρνιθες. Εἶτα πρὸς τὸν Δία παλινδρομοῦσιν εὐθὺς, καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐπεδείκνυτο (5). Ὁ δὲ κολοιὸς τὴν οἰκείαν (6) δεδιὼς ἀμορφίαν, τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν (7), ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων ἀπρέπειαν (8). Ἀλλ' ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαὺξ, καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε· τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα πτερὸν, ὡς ἴδιον ἀφείλετο, καὶ τοῖς ἄλλοις ὀρνέοις ἐδίδου παράδειγμα ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. Καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός (9).

Ὁ μῦθος οὗτος, ὦ Χρύσιππε, τὴν ἀλήθειαν καθάπερ ὕπαρ φθέγγεται (10), πολλὴν σωφροσύνην ἡμῖν διηγούμενος. Οὕτω γὰρ καὶ οἱ ἄνθρωποι οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον· ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον (11) ἐπιπλάστῳ σεμνυνόμεθα κόσμῳ· τεθνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. Ὑπερόρα τοίνυν καὶ (12) χρημάτων καὶ σώματος, ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ, τῆς ψυχῆς· τὸ μὲν γὰρ ἀΐδιον καὶ ἀθάνατον, τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

λε'. ΑΓΡ. ΜΥΡΩΝΙΔΗΣ ΜΟΣΧΙΩΝΙ *.

Τὸν ἀροτῆρα βοῦν κέχρηκα τῷ Τυκανίᾳ (1)· οὐ γὰρ ἦν αὐτῷ τοῦ ζεύγους τὸ ἕτερον. Ἐπηγγείλατο δὲ καὶ ὁ Τυκανίας τὸν ἑαυτοῦ μοι ταῦρον παρασχέσθαι· βοὸς γὰρ ἐλειπόμην κἀγώ. Ὁ γὰρ θαυμαστός μοι ταῦρος ἀπόλωλεν (2), ὁπότε ὁ χαλεπὸς ἐκεῖνος λοιμὸς τοῖς θρέμμασιν ἐπεδήμησεν (3). Ὁ δὲ καλὸς Τυκανίας τὰς συνθήκας διέλυσε· καὶ, μέχρις ὅτου ὁ σκοπὸς αὐτῷ διηνύετο, στέργειν ἐδόκει τὰ δόξαντα. Ἐγὼ δὲ τὴν τύραννον ἄντλην (4) θρηνῶ· οὐ γὰρ ἀροτῆρας βόας κεκτήμεθα, ὁ δὲ καιρὸς τῶν ἀρότρων (5) ἤδη που καὶ παρῴχηκε. Δικαστήριον τοίνυν τῷ Τυκανίᾳ ὁπλίσομαι, καὶ δικαστὰς ἅπαν τὸ χωρίον προστήσομαι. Καὶ τῆς ἀπάτης ἐκεῖνος (6) δίκας ὑφέξεται· καὶ κακίας πείσομεν τοὺς ἀκολάστους ἀπέχεσθαι, ἑνὸς ἀνθρώπου φθορὰν σωφροσύνης διδάσκαλον ἔχοντες.

λς'. ΕΤ. ΕΡΑΣΜΙΟΣ ΛΥΣΙΣΤΡΑΤΩ *.

Παίζουσι τοὺς ἀνθρώπους οἱ Ἔρωτες καὶ δουλαγωγοῦσι τοὺς ὑπὸ σελήνην (1) παῖδες ὑπόπτεροι, ἵνα τι καὶ τοῖς ζωγράφοις πειθώμεθα (2). Εἴθε γὰρ ἦν τὸ πολέμιον (3) ὁρᾷν! οὕτω γὰρ βάλλοντες ἐβάλλοντο καὶ οἱ Ἔρωτες. Ἀλλ' αὐτὸ τοῦτο ἠδικήμεθα πλέον, ὅτι καὶ τοὺς ἐχθροὺς ἠγνοή-

καμεν ὁποῖοι (4) τὴν φύσιν ὄντες τυγχάνουσιν. Οἴῳ γὰρ ἀλογίστῳ πάθει συμπέπλεγμαι! Μελανίππην Διοδώρου ἀπόγονον ἐκτόπως (5) ποθῶ, μηδὲ ὄναρ ποτὲ τὸ γύναιον θεασάμενος (6); ἀλλὰ μόνον ἀκούσας ὑπό τινος (7) ᾄδειν αὐτὴν θαυμαστῶς· καὶ βέβλημαι τὴν ψυχήν, μηδὲν ἐξ αὐτῆς ἐκ τῶν ὀφθαλμῶν (8) ἀδικούμενος, ὅπερ εἴωθα πάσχειν (9), Λυσίστρατε· νῦν δὲ γεγόνασί μοι ὀφθαλμοὶ καὶ τὰ ὦτα. Τοσαῦτα ἡ φύσις (10) Ἐρώτων δεδύνηται. Εἴτε οὖν Ἐριννύς ἐστι τὴν θέαν (11) ἠγνόηκα, ἢ καὶ φαντασία τίς ἐστι τὸ λεχθὲν, οὐκ ἐπίσταμαι· οὐ γὰρ εἷς μάρτυς ἀξιόχρεώς ἐστι πρὸς (12) ἀλήθειαν. Ἀλγῶ δὲ ὅμως τὴν ψυχὴν, καὶ τῆς οὐχ ὁρωμένης ἐρῶ, καὶ Πανικῆς μετειληφέναι μανίας δοκῶ. Κἀκείνῳ (13) ἀθέατον ἦν τὸ ποθούμενον καὶ δόκησις μόνη τῶν ποθουμένων (14) εἶχε τὴν ὕπαρξιν.

λζ'. ΗΘ. ΕΥΡΙΒΙΑΔΗΣ ΚΙΜΩΝΙ *.

Ἐπαγγέλλῃ πολλὰ, καὶ πράττεις ὀλίγα, καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως. Ἀλλ' εἰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοὶ, οἱ ζωγράφοι τῆς (1) σῆς δυνατώτεροι γλώττης, τοσαῦτα πλαστουργοῦντες τοῖς πίναξιν ὅσα πράττειν ἡ φύσις οὐ δύναται· εἰ δὲ καὶ χαίρειν δοκεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, πρὸς ὀλίγον μὲν εὐφραίνεις (2), ἀνιᾷς δὲ μετ' οὐ πολὺ χαλεπώτερον, ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλιστα οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύ-

δοντας, ὅσον ἐγρηγορότας ἐλύπησεν (3)· αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου εὐθὺς συνανίπτανται (4). Σύμφωνα δῆτα τῇ γλώττῃ τὰ πράγματα κέκτησο, ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδόμενος, καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγων πορίσειας ἀληθείας (5) ὑπάρχων ἀμέτοχος.

λη'. ΑΓΡ. ΤΕΤΤΙΓΩΝ ΟΡΤΥΓΩΝΙ *.

Τί δῆτα, τρισάθλιε, τὴν ἐσθῆτα διήλλαξας, καὶ τοὺς πέρδικας ἐξεπέτασας (1); οἶνός σοι γέγονε τὸ κακόν. Οἴνῳ καὶ τοῦ Κύκλωπος τὸν ὀφθαλμὸν ὠνήσασθαι (2) τὸν Ὀδυσσέα φασί. Διὸ εἰ μὴ συναθροίσειας, Ὀρτύγων (3), τοὺς ὄρνιθας, σὺν σοὶ κατακρημνίσαιμι ἐμαυτόν (4). Καὶ παῖδα γὰρ ἀκόλαστον ζῆν χαλεπὸν, καὶ τάφον πρὸ τοῦ πατρὸς υἱὸν σφετερίσασθαι καὶ λίαν ἐστὶ δυσφορώτατον.

λθ'. ΕΤ. ΘΕΤΙΣ ΑΝΑΞΑΡΧΩ *.

Οὐ δύνασαι Θέτιδος καὶ Γαλατείας ἐρᾶν. Οὐ τεμαχίζεται πόθος (1)· οἱ γὰρ Ἔρωτες οὐ μερίζονται. Ἀλλ' οὔτε διπλοῦν ἂν ἐνέγκοις (2) τὸν ἔρωτα· ὡς γὰρ ἡ γῆ δύο ἡλίοις οὐ δύναται θάλπεσθαι, οὕτω μία ψυχὴ δυάδος πυρσῶν ἐρωτικῶν (3) οὐκ ἀνέχεται.

μ'. ΗΘ. ΣΩΚΡΑΤΗΣ ΠΛΑΤΩΝΙ *.

